BIBLIOTHECA

SCRIPTORVM GRAECORVM ET ROMANORVM

TEVBNERIANA

SOPHOCLIS

AIAX

TERTIVM EDIDIT

R. D. DAWE

STVTGARDIAE ET LIPSIAE
IN AEDIBVS B. G. TEVBNERI MCMXCVI

Die Deutsche Bibliothek — CIP-Einheitsaufnahme

Sophocles:
Aiax / Sophocles. — 3. ed. / R. D. Dawe. —
Stutgardiae ; Lipsiae : Teubner, 1996
(Bibliotheca scriptorum Graecorum et Romanorum Teubneriana)
ISBN 3-8154-1810-0
NE: Dawe, Roger D. [Hrsg.]

Printed in Germany
Satz: DW & ID Repro- und Satzzentrum GmbH
Druck und Bindung: Druckhaus Gräfenhainichen GmbH

PRAEFATIO

De codicibus Sophoclis, quo modo inter se connexi sint, quatenus interpolati sint, num veram lectionem singuli servare videantur, de fontibus eorum, et de multis aliis quae ad textum purgatiorem edendum pertinent, alio loco fusius egimus[1]. detur igitur nobis venia ut in hac praefatione rem paucis modo exponamus.

Ex ducentis fere codicibus Sophoclis quorum tabulam fecit Alexander Turyn[2], vir quem honoris causa nominamus, multo maior pars has solas tres fabulas continet, Aiacem, Electram, Oedipum Regem. perpauci sane prae illis ducentis sunt hi undeviginti codices quorum lectiones nos excerpsimus; et ut hoc habemus consolationis, quod textui Sophoclis fundamentum validius substruunt quam quo usque adhuc nixus est, ita non oblivisci nos oportet alibi atque in his undeviginti bonas lectiones reperiendas esse. quod ex. gr. satis moneret codex **J** (Ienensis Bos. q. 7)[3], qui ad Aiacem 295 *φράζειν* praebet, ubi codices nostri faciliorem lectionem *λέγειν* universi offerunt. nam haud fieri potest quin *φράζειν* vera lectio sit. non modo enim *λέγειν*, quod exhibent reliqui, tanquam glossema usurpat Hesychius s. v. *φράζειν*, sed ordo verborum

1 Studies on the Text of Sophocles, Leiden 1973–1978.

2 Studies in the Manuscript Tradition of the Tragedies of Sophocles, Urbana 1952.

3 Aiacis collationem de novo factam invenies apud J. Petrucione, ZPE 53 (1983) 37–52.

luxatus quem ostendit G vix oriri potuit nisi in exemplari quodam antiquo *λέγειν* supra lineam scriptum esset. eundem codicem veram lectionem *πολύπονον* ad Electram 1275 unum et prae omnibus unicum servavisse discimus. donec autem omnes lectiones ex istis ducentis codicibus accurate exscriptae erunt, indulgeat nobis lector si Sophoclem edimus tali fere modo quali reapse usi sumus. collatio enim res longa est fructusque eius incertus: vita, ut aiunt, brevis.

Inter codices nostros principem locum obtinet **L**. ca. 950 A. D. exaratus, cuius norma editores et Aeschyli et Sophoclis ceteros libros metiri solent. huius gemellus quidam extat, liber *παλίμψηστος*, qui non sine multa difficultate legi potest: hic est **Λ**, quem ex collationibus quas Scheltema publici iuris fecit[4] raro commemoravimus.

LΛ alam dexteram, ut ita dicamus. traditionis occupant, sinistram **ADXrXsZr** longaque series aliorum codicum quos non inconsulte neglеximus. ex hac classe multi scholia in margine ostendunt a Moschopulo confecta; cave autem ne in eundem errorem atque alii ita incidas, ut lectiones poetici quoque textus ipsi Moschopulo tribuas et idcirco hanc familiam admittere in rationem nolis. quicumque enim picturam recte aestimare vult, non in formam qua includitur oculos intendere debet sed in picturam ipsam. aliter, mirabile dictu, rem gerunt ii qui hodie traditionem Sophoclis aliorumque auctorum Graecorum patefacere sibi proposuerunt; libros enim pretiosos abicere festinant simulac scholia Planudis, Moschopuli, Thomae, Triclinii in margine agnoscunt. at quo modo, nisi veram lectionem servavit **A** eiusque familia, satis explices locum qualis est Ai. 1214? nam illud *ἀνεῖ-*

4 Mnemosyne ser. IV 2 (1949) 132–137.

ται, quod exhibent **ADXrXsZr**, metrum confirmat: neque tamen ante aetatem Triclinii quisquam, quod sciamus, lyricas partes metri causa emendandas suscepit, neque ipsa sententia causam praebebat quamobrem *ἐγκεῖται* mutare vellet illius familiae progenitor.

Itaque si **L**(**Λ**) et **ADXrXsZr**, quod diximus, alas extremas occupant, inter eos, sed propius ab **L** quam ab **A**, instructa est maior pars reliquorum quos adhibuimus, **CF HNOPPaV**; iuxtaque eos stationem propriam obtinent **GQR**. hos libros tertiam familiam nominare stricto iure vix licet: paucos enim locos invenies ubi omnes hi codices prae ceteris consentiunt. quippe duo ex numero eorum, **PPa**, in Oedipode Rege textum simillimum codicis **L** offerunt, gratum quidem huius stirpis traditionis additamentum.

Fontes codicum **CFHNOPPaV** et **GQR** obscuriores sunt; fortasse tamen a vera ratione non nimis longe errabis si eos libros ex parvo numero exemplarium, vix tres vel quattuor excedente, codici **L** aequalium derivatos esse existimabis. ut paulo posthac monstrabimus, est necessitudo quaedam inter aliquos horum codicum atque Eustathium, cuius nomen nemo elevare velit qui secum reputet Ant. 1167, versum quem omiserunt omnes codices nostri, hunc servavisse. si tibi compertum habere cordi est, quantum valeant libri singuli ex hac testium caterva in locis ubi lectiones falsas praestant ceteri, codices **CN** conferas cum coniectura viri docti Thiersch ad El. 876, et de **CN** + **PPa** vide El. 1431. virtutem librorum **FP** testantur Ai. 743, El. 1304. de **FNP** vide O. T. 181. nec de utilitate librorum **OHV** dubitandum est, quorum primus veram lectionem in rebus minutis nonnumquam adservavit, scilicet ad Ai. 205 (cum **V**) et 914 (cum **D**); El. 861; O. T. 1217 et (cum **H**) 1513; vide etiam apparatum ad O. T. 516. **H** ob hoc inter alia notabilis est quod Electrae

metricum argumentum unus nobis tradit. penes **V** optima exemplaria constitisse veri simile est, quippe qui textum Agamemnonis Aeschyli aut totum aut partim quondam continuerit, fabulae quam nos aliter, nisi quod **M** (hic est Sophoclis nostri **L**) huic dramati non omnino deest, tantum ex opere Triclinii cognovimus.

Familiae **G(Q)R** honestatem priscam comprobat locus qualis O. T. 525 (*τοὔπος*). erroribus quidem hi scatent, praesertim **Q**, recentissimus codex sed qui ad Ai. 884 dum *ποτα ἴδρις μῶν* scribit, illud *ἴδρις*, quod in textum receperunt omnes ceteri libri, olim supra lineam tanquam glossema scriptum esse clarissime demonstrat.

Ut hoc exemplum probat, editori semper in memoria tenendum est veras lectiones iuxta errores crassos reperiri posse. quid tamen de lectionibus quae ad neutram classem relegandae sunt, emendationibus videlicet? haud sane multae nobis occurrunt quales ex longa deliberatione confectas esse credideris: de lapsibus calami – de mentis melius diceres – potius res agitur, si praetermittimus ea quae patravit scholiastes codicis **L**, qui lectionibus quae, ut docent alii libri, glossemata sunt (ex. gr. *τυραννήσαντος* El. 1) siglum *γρ.* praefixit, ut eas putaret lector incautus antiquas lectiones esse.

Aliter res se habet cum quartam familiam, **ZcT**, inspicimus. **T** enim ex editione quam paravit Demetrius Triclinius derivatus est; quamobrem cautiores nos progredi decet. licet enim Triclinio exemplaria antiqua auxilio fuerint, ex quibus lectiones nobis aliunde incognitas traderet, ob hoc potius Sophoclis editori notabilis est, quod more Procrustae alterius carmina lyrica suo Marte mutavit, ut strophae atque antistrophae inter se responderent. aliquando scholia Triclinii nos certiores faciunt de eiusdem emendationibus, saepius autem textum tacite mutavit. forsitan lector nobis obiciat quod lectiones codicis **T**

ex apparatu non exterminaverimus: aequius tamen videbatur lectiones et huius codicis eodem modo quo alibi utimur communicare, ut lector pro se ipse rem discerneret. Nobis enim persuasum est hoc apparatus critici praecipuum officium esse debere, ut lectori rem divulget, non celet.

Cum **T** plerumque consentit **Zc**: de qua re vide O. Smith, Class. et Med. 32 (1980) 35–43. scholia metrica praebet **Zc**, quae nondum in eundem statum redacta sunt qualem apud **T** invenimus, sed, ni fallimur, ex editione priore quadam derivata sunt. eodem modo apud Aeschylum scholia librorum **EFG** non ad eundem gradum ac codex **T**, quem exaravit Triclinius ipse, videntur processisse. at cave ne **Zc** quasi merum satellitem Triclinii dimittas. procul dubio enim **Zc** non solum codice **L** utebatur, sed etiam **Λ** vel codice quodam simillimo: cf. El. 386 *μάλλισθ'* **ΛZc**. at cum traditio Laurentiana alioquin tantum ex **L** nobis nota sit – quamvis in O.T. ut supra diximus aliquid conferant **PPa** – testimonium **Zc** editori gratum esse debet.

Quod docent ipsi libri de familiis quibus adhaerent etiam extrinsecus servata testimonia confirmant. ut primum ad antiquissima nos convertamus. fragmenta papyrorum, licet exigua sint, cum his codicibus contra reliquos consentiunt, vel saltem ad consensum proxime accedunt, his locis: El. 995 (**Zr**); O. T. 187 (**L**^{ac}**T**); 297 (**L**^{s} + **ADXrXsZr** + **Zc**); 429 (**R**); 433 (**LPa**); 434 (cf. **HO**^{ac}, fort. **G**^{ac}); 695 (**GR**); 827 (**HNOV** + **Zr**): 1306 (**N** + **A XrXsZr**).

Circa trecentis annis post aetatem antiquissimorum papyri fragmentorum floruit Stobaeus. qui quamquam errores nonnullos exhibet quibus vacant codices nostri, duobus locis textum puriorem offert, dum interpolationibus caret quae in omnes Sophoclis libros irrepserunt:

Ai. 554b et *τε καὶ φλέγει* ad Ai. 713. cum Stobaeo contra reliquos consentit **Xs**^{γρ} ad Ai. 330 (cf. 648).

Consensus notabiles inter Hesychium et codices nostros nullos invenimus, nisi quod Hesychio prope accessit **O**^{ac} ad Ai. 656. insigniores sunt consensus cum alio libro *λεξικῶι*, Etymologico Magno ad Ai. 1183 (**L**^{ac}**O**) et El. 445 (**C** s. l. et **Xs**^{ac}).

Restant duo testimonia recentiora eisque quae enumeravimus ampliora: Suda (ca. 1000 A. D. ut creditur confectum) et Eustathius (fl. 1150). quos libros si simul nominamus, noli quasi gemellos aestimare: fontes vero eorum intervallo satis magno seiunctos esse veri simile est. nempe, ut extra triadem exspatiemur, Suda nihil ex Antigone novit praeter unum verbum, Eustathius autem ex quattuor istis fabulis Antigonen saepius quam ceteras citat; contra ex Oedipode Coloneo citationes multo frequentiores Suda quam Eustathius adducit. intra triadem Suda nihil ex Oed. Tyr. 963–1388 citat, multa tamen ex ceteris partibus. hoc vitio saepius laborat ut verba poetae falso ordine disponat, nonnulla etiam omittat. consensus peculiares invenias e. g. Ai. 155, 224 (**L**^{ac}), 289 (**P**), 382 (**F** s. l.), 571 (**T**), 656 (**H**^{ac}), 842 (**GQR**), 961 (**Q**); El. 108 (**L**^{ac}**F**^{ac}); Oed. Tyr. 434 (**H**). 568 (**V**, et cf. **LPa** + **C**). nec desunt Eustathio consensus eiusdem modi: Ai. 955 (**O**), 1227 (**FHP**); El. 192 (**NOPV**), 608 (**COPV**), 706 (**P**), 1078 (Par. gr. 2794).

De codicibus ipsis haec hactenus. nunc rationem explicemus qua lectiones in apparatum selegimus. cum nihil temere excludere conati sumus quod menti viri curiosi suspicionem suggerere posset, tum meros scribarum errores sedulo impertiri noluimus. severior tamen haec regula interdum videbatur, infractamque eam in apparatu nostro saepenumero invenies, praesertim in locis huiusmodi: ubi de vera lectione non ambigitur, sed eam tradunt

pauci modo codices; vel ubi error in codicibus adeo firme infossus est ut de hoc lectorem celare vix aequum videretur. ex gr. Ai. 1024 citemus, locum parvi mehercule momenti, quemque libentius silentio presserimus; sed ut nemo dubitare potest quin Sophocles *πῶς σ'* scripserit, ita ex omni codicum familia sunt qui *πῶς* testentur. superest etiam aliud genus loci, ubi textus certus est, lectio tamen aliqua per se digna memoratu videbitur: in qua classe imprimis nominandus est versus O. T. 800. quod hunc versum in codicem **L** inseruit scriba codicis **A** nullum sane auxilium dat quo facilius mens Sophoclis intelligatur: rem tamen in nomine 'apparatus vere critici' referre supersedere nimis fastidiosum apparebit.

Cuius loci mentio nos ad difficultatem quandam adducit de qua omnem Sophoclis editorem laborare necesse est. quippe multis locis post correctionem **L** cum lectione alterius familiae, praesertim **ADXrXsZr**, congruit; quod saepius ex nulla alia causa oritur quam quod correctionem in **L** ipse intulit scriba codicis **A**. ergo ne quis **L**^{2pc}, ubi manus **L**^{2} eadem atque **A** est, vel certe multo recentior quam **L**^{1} seu **L**^{s}, pro vera traditione Laurentiana accipiat, in talibus locis **L**^{2} suppressimus, et lectioni antiquiori siglum **L**, non ut in libro nostro Leidensi fecimus **L**^{ac}, apposuimus. quod nos sescentis aliis locis facere debuisse ratio quidem persuadet, sed correctiones manui **L**^{2} attribuere non ausi sumus nisi claro testimonio oculorum freti.

Nonnumquam accidit ut coniectura a viro docto proposita postea in codice nescioquo reperiatur. quod ubicumque fit, lectionem in apparatum admisimus etiamsi per se haud multum, ut nostra quidem opinio fert, habet quo commendetur: ex gr. *ἐναργῶς* O. T. 535 (Blaydes et **C**).

Quod ad orthographiam pertinet, has regulas plerumque servamus: ubi metrum *ἀνήρ* pro *ἀνήρ* requirit, *-με-*

σθα pro *-μεθα*, *ν ἐφελκυστικόν*, iota adscriptum vel similia, discrepantias codicum neglexinus. in locis autem ubi metrum rem decernere non potuit, sed ex. gr. et *ξύν* et *σύν* admittit, si unus tantum codex vel duo formam alteram praebent, lectionem a maiore codicum parte traditam tacite accepimus. vestigia priorum nostrae aetatis editorum ingredimur dum formas *μείγνυμι, ηὑρόμην, τείσει, ἐποικτίρω* scribimus, ubi codices semper fere *μίγνυμι, εὑρόμην, τίσει, ἐποικτείρω* exhibent. forma *γίγνομαι* (*γίνομαι* rell.) paene nusquam extra codicem L invenitur: et hoc silemus. ubi tamen contra spem formas meliores offerunt codices, ex gr. *ποήσω*, hoc dignum memoratu duximus. dum *βούλει* et *ὄψει* scribimus, in aliis verbis contra *-ηι* utimur, vestigia scribarum premimus. utrum ipsi Sophocli hoc curae fuerit dubitare licet.

Hodie, quamvis inexplorata maneat maior pars codicum, acervus ingens coniecturarum penes editorem subsistit, quas multos per annos ac multas per ephemeridas dispersas in commentarios congessit – mirum mehercule laborem – L. van Paassen. Quo facilius pergeret opus huius tertiae editionis parandae, hos manu scriptos libros pro sua benevolentia ad nos misit J. M. Bremer. Hac ratione rem gessimus: praeter eas quas in textum admisimus tria genera coniecturarum in apparatu memoravimus: eas quae ob virtutes suas arrident; eas quae nobis quidem falsae videntur sed novas vias interpretandi patefaciunt (ex. gr. quod proponit Hermann ad Ai. 1031); eas denique quae ut verum non attingunt ita difficultatem nescioquam illuminant vel locum desperatiorem in tempus mitigant.

Cantabrigiae, A. D. MCMXCIII R. D. D.

CONSPECTVS SIGLORVM

A	Par. gr. 2712
C	Par. gr. 2735
D	Neapol. II. F. 9
F	Flor. Laur. 28, 25
G	Flor. Laur. conv. soppr. 152
H	Flor. Laur. 32, 40
L	Flor. Laur. 32, 9
N	Matrit. 4677
O	Lugd. Voss. gr. Q 6
P	Heidelberg Palat. gr. 40
Q	Par. suppl. gr. 109
R	Vatic. gr. 2291
T	Par. gr. 2711
V	Ven. gr. 468
Xr	Vindob. phil. gr. 161
Xs	Vindob. phil. suppl. gr. 71
Zc	Vatic. gr. 1333
Zr	Ven. gr. 616

Codex **L** ca. 950 A. D. conscriptus est. **G** subscriptionem anni Domini 1282 exhibet, **Xr** anni 1412, eiusdemque fere aetatis est **Xs**. saeculo quinto decimo assignantur **RZr**, sexto decimo **Q**. ceteri codices saeculo quarto decimo exarati sunt, nisi forte **FH OV** exeunte saeculo priore.

Interdum commemorantur etiam **J** (Ienensis Bos. q. 7): vide Praefationem V n. 3; **S** (Vatic. Urb. gr. 141): vide Kopff, Amer. Journ. Philol. 114 (1993) 155–159; **Wa** (Mediol. Ambros. E 103 sup.): vide Wilson, Journ. Hell. Stud. 97 (1977) 168–169.

P. Oxy. 2093 (Ai. 51–66, 266–276, 291–307) II–III A. D.
P. Oxy. 1615 (Ai. 694–705, 753–764) IV A. D.

P. Berol. 21 208 (Ai. 921–927, 950–957) V–VI A. D.
P. Antin. 2. 72 (El. 16–24) VI–VII A. D.
P. Vat. gr. 11 (Favorini: El. 363–364) ante 215 A. D.?
P. Oxy. 693 (El. 993–1007) III A. D.
P. Oxy. 2180 (Oed. Tyr. 102–121, 242–294, 297–299, 397–404, 411–532, 574–587, 971–974) II A. D. (De aliquot lectionibus dubiis nos certiores fecit R. A. Coles)
P. Soc. Ital. 1192 (Oed. Tyr. 179–200) II A. D.
P. Oxy. 22 (Oed. Tyr. 375–385, 429–441) IV–V A. D.
P. Oxy. 1369 (Oed. Tyr. 688–697, 708–710, 731–740, 751–753, 775–784, 819–827, 1304–1310, 1351–1358) V–VI A. D.

Gnom. consensus Gnomol. Vatoped. 36 et cod. Marc. gr. 507: saec. XII. vide Soteroudes, *Ελληνικα* 30 (1977–1978) 397–399, Christodoulou, *ΕΕΦΣΠΑ* 26 (1977–1978) 306–330

Stobaeum secundum volumen, paginam, lineam editionis C. Wachsmuth et O. Hense (Berol. 1884/1923) notamus

Suda eodem modo: ed. A. Adler (Lips. 1928/1938)

B^{ac}	lectio codicis **B** ante correctionem
B^{pc}	lectio codicis **B** post correctionem
B^{c}	lectio correcta ubi **B**^{ac} dispici nequit
B^{1}	manus ipsius scribae poetici textus
B^{1pc}	correctio a prima manu illata
B^{2}	manus altera quaelibet
B^{2pc}	hoc siglum usurpatur ubi satis certum est lectionem correctam nec **B**^{1} nec **B**^{s} intulisse
B^{s}	scriba scholiorum vel glossator frequens
B^{γρ}	varia lectio in **B** reperta, praefixis litteris *γρ.*, *γρ. καὶ*, aut formula *εὕρηται δὲ ἔν τισι* vel sim.
B^{gl}	glossema in **B** repertum, interdum etiam varia lectio sine *γρ.*, *γρ. καὶ* vel tali formula praefixa
B in lin.	lectio codicis **B** in linea reperta
B s. l.	lectio codicis **B** supra lineam reperta
Σ	scholia
*	rasura unius litterae

● littera nihili

rell. lectio omnium ceterorum codicum exceptis meris erroribus in uno vel duobus codicibus inventis

fere rell. lectio quam vult maior pars ceterorum codicum, meris erroribus tantum suppressis qui nihil ad rem criticam conferunt

rec. hoc siglo raro utimur ubi convenit lectiones commemorare unius vel complurium codicum quae nobis ex editionibus aliorum innotuerunt

⟨ ⟩ editoris supplementum

[ ] verba quae editor delenda censet

ΑΙΑΣ

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

ΑΘΗΝΑ
ΟΔΥΣΣΕΥΣ
ΑΙΑΣ
ΧΟΡΟΣ ΣΑΛΑΜΙΝΙΩΝ ΝΑΥΤΩΝ
ΤΕΚΜΗΣΣΑ
ΑΓΓΕΛΟΣ
ΤΕΥΚΡΟΣ
ΜΕΝΕΛΑΟΣ
ΑΓΑΜΕΜΝΩΝ

ΚΩΦΑ ΠΡΟΣΩΠΑ

ΕΥΡΥΣΑΚΗΣ *ΠΑΙΔΑΓΩΓΟΣ* *ΣΤΡΑΤΟΚΗΡΥΞ*

ΑΘΗΝΑ

Ἀεὶ μέν, ὦ παῖ Λαρτίου, δέδορκά σε
πεῖράν τιν' ἐχθρῶν ἁρπάσαι θηρώμενον·
καὶ νῦν ἐπὶ σκηναῖς σε ναυτικαῖς ὁρῶ
Αἴαντος, ἔνθα τάξιν ἐσχάτην ἔχει,
5 *πάλαι κυνηγετοῦντα καὶ μετρούμενον*
ἴχνη τὰ κείνου νεοχάραχθ', ὅπως ἴδῃς
εἴτ' ἔνδον εἴτ' οὐκ ἔνδον. εὖ δέ σ' ἐκφέρει
κυνὸς Λακαίνης ὥς τις εὔρινος βάσις·
ἔνδον γὰρ ἁνὴρ ἄρτι τυγχάνει, κάρα
10 *στάζων ἱδρῶτι καὶ χέρας ξιφοκτόνους·*
καί σ' οὐδὲν εἴσω τῆσδε παπταίνειν πύλης
ἔτ' ἔργον ἐστίν, ἐννέπειν δ' ὅτου χάριν
σπουδὴν ἔθου τήνδ', ὡς παρ' εἰδυίας μάθῃς.

ΟΔΥΣΣΕΥΣ

ὦ φθέγμ' Ἀθάνας, φιλτάτης ἐμοὶ θεῶν,
15 *ὡς εὐμαθές σου, κἂν ἄποπτος ᾖς ὅμως,*
φώνημ' ἀκούω καὶ ξυναρπάζω φρενί,
χαλκοστόμου κώδωνος ὡς Τυρσηνικῆς.
καὶ νῦν ἐπέγνως εὖ μ' ἐπ' ἀνδρὶ δυσμενεῖ
βάσιν κυκλοῦντ', Αἴαντι τῶι σακεσφόρωι·
20 *κεῖνον γάρ, οὐδέν' ἄλλον, ἰχνεύω πάλαι.*
νυκτὸς γὰρ ἡμᾶς τῆσδε πρᾶγος ἄσκοπον

1–33 om. **N** ‖ **1–226** scr. aliena manus in **Zc** ‖ **15** *σου*] *μοι* **Σ** Aeschin. Timarch. 8 | *ἄγνωστος* idem ‖ **18** *αὖ* Schneidewin

ἔχει περάνας, εἴπερ εἴργασται τάδε·
ἴσμεν γὰρ οὐδὲν τρανές, ἀλλ' ἀλώμεθα·
25 *ἐφθαρμένας γὰρ ἀρτίως εὑρίσκομεν*
λείας ἁπάσας καὶ κατηναρισμένας
ἐκ χειρὸς αὐτοῖς ποιμνίων ἐπιστάταις.
τήνδ' οὖν ἐκείνωι πᾶς τις αἰτίαν τρέπει,
24 *κἀγὼ θελοντὴς τῶιδ' ὑπεζύγην πόνωι.*
29 *καί μοί τις ὀπτὴρ αὐτὸν εἰσιδὼν μόνον*
30 *πηδῶντα πεδία σὺν νεορράντωι ξίφει*
φράζει τε κἀδήλωσεν· εὐθέως δ' ἐγὼ
κατ' ἴχνος ᾄσσω· καὶ τὰ μὲν σημαίνομαι,
τὰ δ' ἐκπέπληγμαι κοὐκ ἔχω μαθεῖν ὅπου.
καιρὸν δ' ἐφήκεις· πάντα γὰρ τά τ' οὖν πάρος
35 *τά τ' εἰσέπειτα σῆι κυβερνῶμαι φρενί.*
ΑΘ. *ἔγνων, Ὀδυσσεῦ, καὶ πάλαι φύλαξ ἔβην*
τῆι σῆι πρόθυμος εἰς ὁδὸν κυναγίαι.
ΟΔ. *ἦ καί, φίλη δέσποινα, πρὸς καιρὸν πονῶ;*
ΑΘ. *ὡς ἔστιν ἀνδρὸς τοῦδε τἄργα ταῦτά σοι.*
40 *ΟΔ.* *καὶ πρὸς τί δυσλόγιστον ὧδ' ᾖξεν χέρα;*
ΑΘ. *χόλωι βαρυνθεὶς τῶν Ἀχιλλείων ὅπλων.*
ΟΔ. *τί δῆτα ποίμναις τήνδ' ἐπεμπίπτει βάσιν;*
ΑΘ. *δοκῶν ἐν ὑμῖν χεῖρα χραίνεσθαι φόνωι.*

22 *γ' ὅδε* Musgrave ‖ **23** *ἴδμεν* Et. Mag. 466,12 ‖ **24** *'θελοντὴς* **HPAT** | hunc versum post v. 28 traiecit Dawe: nec aliter Σ legisse satis apparet ‖ **27** ut vid. *ὑποστάταις* $\mathrm{L^{ac}}$ ‖ **28** *τρέπει* **LP**$\mathrm{C^{2\gamma\rho}}$ $\mathrm{F^{\gamma\rho}}$**ZrT** *νέμει* rell. ‖ **33** *ὅπου* $\mathrm{A^{ac}D^{s\gamma\rho}}$, fort. $\mathrm{L^{ac}}$ *ὅσου* **AVM** Sudae 4, 350, 25 *ὅτου* **F** Sudae, $\mathrm{A^{\gamma\rho}}$ rell. (de $\mathrm{A^{pc}}$ incertum) ‖ **35** *φρενί* $\mathrm{N^{s\gamma\rho}}$ et lemma **ΣL** *χερί* vel *χειρί* rell. ‖ **37** *κυναγίαι* **LN PXr** *κυνηγίας* **Xr** s. l. *κυνηγίαι* rell. ‖ **39** *ἔργα τοῦδε* **OVGQR** ‖ **40** *χέρας* $\mathrm{G^{ac}}$**QR** *χερί* Ruhnken *χρέος* novisse Σ suspicatur M. Schmidt ‖ **43** *ὑμῶν* $\mathrm{G^{gl}}$ et coni. Nauck

ΟΔ. ἦ καὶ τὸ βούλευμ' ὡς ἐπ' Ἀργείοις τόδ' ἦν;
45 ΑΘ. κἂν ἐξέπραξεν, εἰ κατημέλησ' ἐγώ.
ΟΔ. ποίαισι τόλμαις ταῖσδε καὶ φρενῶν θράσει;
ΑΘ. νύκτωρ ἐφ' ὑμᾶς δόλιος ὁρμᾶται μόνος.
ΟΔ. ἦ καὶ παρέστη κἀπὶ τέρμ' ἀφίκετο;
ΑΘ. καὶ δὴ 'πὶ δισσαῖς ἦν στρατηγίσιν πύλαις.
50 ΟΔ. καὶ πῶς ἐπέσχε χεῖρα μαιμῶσαν φόνου;
ΑΘ. ἐγώ σφ' ἀπείργω, δυσφόρους ἐπ' ὄμμασι
γνώμας βαλοῦσα, τῆς ἀνηκέστου χαρᾶς,
καὶ πρός τε ποίμνας ἐκτρέπω σύμμεικτά τε
λείας ἄδαστα βουκόλων φρουρήματα·
55 ἔνθ' εἰσπεσὼν ἔκειρε πολύκερων φόνον
κύκλωι ῥαχίζων· κἀδόκει μὲν ἔσθ' ὅτε
δισσοὺς Ἀτρείδας αὐτόχειρ κτείνειν ἔχων,
ὅτ' ἄλλοτ' ἄλλον ἐμπίτνειν στρατηλατῶν.
ἐγὼ δὲ φοιτῶντ' ἄνδρα μανιάσιν νόσοις
60 ὤτρυνον, εἰσέβαλλον εἰς ἕρκη κακά.
κἄπειτ', ἐπειδὴ τοῦδ' ἐλώφησεν πόνου,
τοὺς ζῶντας αὖ δεσμοῖσι συνδήσας βοῶν
ποίμνας τε πάσας εἰς δόμους κομίζεται,

44 *βούλευμ'* **F**^{ac}**HNO**^{pc}**ADXrXsZrT**, et **ΣL** sed non in lemmate *βούλημ'* **O**^{ac} rell., novit Σ Ar. Plut. 493 ‖ **45** *ἐξεπράξατ'* **L** et **ΣL** *ἐξέπραξ' ἂν* Schneidewin ‖ **46** *χειρῶν* **C**^{γρ}**H**^{γρ} ‖ **50** *μαργῶσαν* **H** *διψῶσαν* **L**^{γρ}**G**^{γρ}, gl. in **CFOP** ‖ **51** *ἀπεῖρξα* **HN**^{ac}**OGQ**^{c}**R**, **A** s. l., fort. **V**^{ac} ‖ **52** *ἀνεικάστου* **T** s. l. ‖ **57** *δοιους* pap. Oxy. 2093 ante corr. | *παρών* **L**^{sγρ} *ἑλών* Morstadt ‖ **58** *τοτ* pap. *ὅτε δ'* Reiske | *ἐμπίτνειν* Broadhead (-*εῖν* iam Kayser) *ἐμπίπτειν* **PR** *ἐμπιτνῶν* **ADXrXsZcT** *ἐμπεσών* **L**^{γρ} *ἐμπίπτων* **P** s. l., rell. ‖ **60** *εἰς ἐρινῦν κακήν* **L**^{γρ} *εἰς ἄρκυν κακήν* Wunder ‖ **61** *πόνου* **DXr**^{γρ}**XsZrZc** *φόνου* **D**^{γρ} rell. ‖ **63–64** invicem trai. et **65** om. pap. Oxy. 2093

ὡς ἄνδρας, οὐχ ὡς εὔκερων ἄγραν, ἔχων·
65 *καὶ νῦν κατ' οἴκους συνδέτους αἰκίζεται.*
δείξω δὲ καὶ σοὶ τήνδε περιφανῆ νόσον,
ὡς πᾶσιν Ἀργείοισιν εἰσιδὼν θροῆις.
θαρσῶν δὲ μίμνε, μηδὲ συμφορὰν δέχου,
τὸν ἄνδρ'· ἐγὼ γὰρ ὀμμάτων ἀποστρόφους
70 *αὐγὰς ἀπείρξω σὴν πρόσοψιν εἰσιδεῖν.*
οὗτος, σὲ τὸν τὰς αἰχμαλωτίδας χέρας
δεσμοῖς ἀπευθύνοντα προσμολεῖν καλῶ·
Αἴαντα φωνῶ· στεῖχε δωμάτων πάρος.
ΟΔ. *τί δρᾶις, Ἀθάνα; μηδαμῶς σφ' ἔξω κάλει.*
75 ΑΘ. *οὐ σῖγ' ἀνέξηι μηδὲ δειλίαν ἀρῆι;*
ΟΔ. *μή, πρὸς θεῶν· ἀλλ' ἔνδον ἀρκείτω μένων.*
ΑΘ. *τί μὴ γένηται; πρόσθεν οὐκ ἀνὴρ ὅδ' ἦν…*
ΟΔ. *ἐχθρός γε τῶιδε τἀνδρὶ καὶ τανῦν ἔτι.*
ΑΘ. *οὔκουν γέλως ἥδιστος εἰς ἐχθροὺς γελᾶν;*
80 ΟΔ. *ἐμοὶ μὲν ἀρκεῖ τοῦτον ἐν δόμοις μένειν.*
ΑΘ. *μεμηνότ' ἄνδρα περιφανῶς ὀκνεῖς ἰδεῖν;*
ΟΔ. *φρονοῦντα τἄν νιν οὐκ ἂν ἐξέστην ὄκνωι.*
ΑΘ. *ἀλλ' οὐδὲ νῦν σε μὴ παρόντ' ἴδηι πέλας.*
ΟΔ. *πῶς, εἴπερ ὀφθαλμοῖς γε τοῖς αὐτοῖς ὁρᾶι;*
85 ΑΘ. *ἐγὼ σκοτώσω βλέφαρα καὶ δεδορκότα.*
ΟΔ. *γένοιτο μέντἂν πᾶν θεοῦ τεχνωμένου.*

64 *ὡς*¹] *τουσ⟨δ⟩* pap. ‖ **68** *συμφορὰν* fort. corruptum, et fort. ex corr. scr. **L** *σὺν φόβωι* Viketos ‖ **70** *ἀπείργω* **L** ‖ **75** *ἀρῆι* Hesych. et **L**² *ἀρεῖς* **ADXrXsZc**^{ac}**T** *ἀρῆς* **Zc**^{2pc} *ἄρῃς* **Q**^{2pc} *ἄρης* **Q**^{ac} rell. ‖ **77** Athenam sententiam non complevisse docuit Brunck ‖ **79** *οὔκουν* Hermann *οὐκοῦν* sine interrogationis nota codd. ‖ **80** *ἐν δόμοις* **ADXrXsZr** *εἰς* (*ἐς* **LN**) *δόμους* rell. ‖ **82** *τἄν νιν* Blaydes *γὰρ τἂν* **ΣL** in lemmate *γάρ νιν* rell. | *ὄκνωι*] *ἰδεῖν* **HP**^{γρ}**T** ‖ **84** *ὀφθαλμοῖσι* sine *γε* **P** ‖ **85** *δεδορκότος* anon.

ΑΘ. *σίγα νυν ἑστώς, καὶ μέν' ὡς κυρεῖς ἔχων.*
ΟΔ. *μένοιμ' ἄν, ἤθελον δ' ἂν ἐκτὸς ὢν τυχεῖν.*
ΑΘ. *ὦ οὗτος Αἴας, δεύτερόν σε προσκαλῶ,*
90 *τί βαιὸν οὕτως ἐντρέπηι τῆς συμμάχου;*

ΑΙΑΣ

ὦ χαῖρ', Ἀθάνα, χαῖρε, Διογενὲς τέκνον,
ὡς εὖ παρέστης· καί σε παγχρύσοις ἐγὼ
στέψω λαφύροις τῆσδε τῆς ἄγρας χάριν.
ΑΘ. *καλῶς ἔλεξας· ἀλλ' ἐκεῖνό μοι φράσον,*
95 *ἔβαψας ἔγχος εὖ πρὸς Ἀργείων στρατῶι;*
ΑΙ. *κόμπος πάρεστι, κοὐκ ἀπαρνοῦμαι τὸ μή.*
ΑΘ. *ἦ καὶ πρὸς Ἀτρείδαισιν ἤιχμασας χέρα;*
ΑΙ. *ὥστ' οὔποτ' Αἴανθ' οἵδ' ἀτιμάσουσ' ἔτι.*
ΑΘ. *τεθνᾶσιν ἄνδρες, ὡς τὸ σὸν ξυνῆκ' ἐγώ.*
100 ΑΙ. *θανόντες ἤδη τἄμ' ἀφαιρείσθων ὅπλα.*
ΑΘ. *εἶέν, τί γὰρ δὴ παῖς ὁ τοῦ Λαερτίου;*
ποῦ σοι τύχης ἕστηκεν; ἦ πέφευγέ σε;
ΑΙ. *ἦ τοὐπίτριπτον κίναδος ἐξήρου μ' ὅπου;*
ΑΘ. *ἔγωγ', Ὀδυσσέα, τὸν σὸν ἐνστάτην, λέγω.*
105 ΑΙ. *ἥδιστος, ὦ δέσποινα, δεσμώτης ἔσω*
θακεῖ· θανεῖν γὰρ αὐτὸν οὔ τί πω θέλω.
ΑΘ. *πρὶν ἂν τί δράσηις ἢ τί κερδάνηις πλέον;*

88 *κυρεῖν* **GQR** || **89** *Αἴας* Eustath. 1469, 59; Greg. Cor. De Dial. Att. cap. 53; Choeroboscus 105, 13; Theodos. canon. 131, 14 *Αἴας* etiam L^{ac} *Αἶαν* L^{2pc} rell. et Suda 3, 613, 1 || **90** *σῆς* Linwood || **96** s. v. *μὴ οὐχί* citat Suda 3, 388, 17 || **97** *ἤιμαξας* Reiske, quod pro gl. supra *ἔβαψας* (95) habent **DXrXsZc**; hic *ἡμάτωσας* glossema praebent **FODZc** | *χέραι* **L** *χέρας* **HGQR** *χέρα** **FO** || **98** *ὡς* **Q**, et coni. Elmsley | *οἶδ'* **L**, novit **ΣL** || **101** *εἶέν* **L** *εἶεν* rell. || **104** *ἐγώ δ'* **F**^{ac}**GQ** *ἐγὼ δ'* Zonaras 2, 1448

ΑΙ. *πρὶν ἂν δεθεὶς πρὸς κίον' ἑρκείου στέγης...*
ΑΘ. *τί δῆτα τὸν δύστηνον ἐργάσηι κακόν;*
110 ΑΙ. *μάστιγι πρῶτον νῶτα φοινιχθεὶς θάνηι.*
ΑΘ. *μὴ δῆτα τὸν δύστηνον ὧδέ γ' αἰκίσηι.*
ΑΙ. *χαίρειν, Ἀθάνα, τἄλλ' ἔγωγ' ἐφίεμαι,*
κεῖνος δὲ τείσει τήνδε κοὐκ ἄλλην δίκην.
ΑΘ. *σὺ δ' οὖν, ἐπειδὴ τέρψις ἥδε σοι τὸ δρᾶν,*
115 *χρῶ χειρί, φείδου μηδὲν ὧνπερ ἐννοεῖς.*
ΑΙ. *χωρῶ πρὸς ἔργον. τοῦτό σοι δ' ἐφίεμαι,*
τοιάνδ' ἀεί μοι σύμμαχον παρεστάναι.
ΑΘ. *ὁρᾶις, Ὀδυσσεῦ, τὴν θεῶν ἰσχὺν ὅση·*
τούτου τίς ἄν σοι τἀνδρὸς ἢ προνούστερος
120 *ἢ δρᾶν ἀμείνων ηὑρέθη τὰ καίρια;*
ΟΔ. *ἐγὼ μὲν οὐδέν' οἶδ'· ἐποικτίρω δέ νιν*
δύστηνον ἔμπας, καίπερ ὄντα δυσμενῆ,
ὁθούνεκ' ἄτηι συγκατέζευκται κακῆι,
οὐδὲν τὸ τούτου μᾶλλον ἢ τοὐμὸν σκοπῶν.
125 *ὁρῶ γὰρ ἡμᾶς οὐδὲν ὄντας ἄλλο πλὴν*
εἴδωλ', ὅσοιπερ ζῶμεν, ἢ κούφην σκιάν.
ΑΘ. *τοιαῦτα τοίνυν εἰσορῶν ὑπέρκοπον*
μηδέν ποτ' εἴπηις αὐτὸς εἰς θεοὺς ἔπος,
μηδ' ὄγκον ἄρηι μηδέν', εἴ τινος πλέον

108 *ἑρκίου* codd.: corr. Elmsley | *στέγους* Q ‖ **110** *δαρῆι* Stadtmüller ‖ **112** *ἔγωγ'* F. W. Schmidt *ἔγωγέ σ'* LCFOVG ZrT *ἐγώ σ'* rell. ‖ **114** *ὧδε* C s. l., HOPVG^{γρ}QRT, fort. Zc^{ac} ‖ **115** *ἐννέπεις* L^{sγρ} ‖ **116** *τοῦτο· σοὶ δ'* Blaydes ‖ **118** notam interrogationis post *ὅση* edd. plerique ‖ **119** *ἄν σοι τἀνδρὸς*] *ἀνδρῶν* (*-ὸς* Q^{ac}) *ἄλλος* GQRD | *ἢ* LF^{ac}GZrT *ἢ** V *ἢ* C^{ac} et fort. F^{2pc} *ἦν* C^{pc} rell. ‖ **121** *οὐδὲν* CF^{ac}NGQ^{ac}RAXs^{ac}Zr, fort. L^{ac} ‖ **122** *ἔμπης* codd.: corr. Brunck ‖ **129** *ἄρηι* LC^{ac}HAD^{ac}Xr *ἄρῃς* C^{pc}D^{pc} rell.

130 *ἢ χειρὶ βρίθεις ἢ μακροῦ πλούτου βάθει·*
ὡς ἡμέρα κλίνει τε κἀνάγει πάλιν
ἅπαντα τἀνθρώπεια· τοὺς δὲ σώφρονας
θεοὶ φιλοῦσι, καὶ στυγοῦσι τοὺς κακούς.

ΧΟΡΟΣ

Τελαμώνιε παῖ, τῆς ἀμφιρύτου
135 *Σαλαμῖνος ἔχων βάθρον ἀγχίαλον,*
σὲ μὲν εὖ πράσσοντ' ἐπιχαίρω·
σὲ δ' ὅταν πληγὴ Διὸς ἢ ζαμενὴς
λόγος ἐκ Δαναῶν κακόθρους ἐπιβῆι,
μέγαν ὄκνον ἔχω καὶ πεφόβημαι
140 *φήνης ὡς ὄμμα πελειάς·*
ὡς καὶ τῆς νῦν φθιμένης νυκτὸς
μεγάλοι θόρυβοι κατέχουσ' ἡμᾶς
ἐπὶ δυσκλείαι, σὲ τὸν ἱππομανῆ
λειμῶν' ἐπιβάντ' ὀλέσαι Δαναῶν
145 *βοτὰ καὶ λείαν,*
ἥπερ δορίληπτος ἔτ' ἦν λοιπή,
κτείνοντ' αἴθωνι σιδήρωι.
τοιούσδε λόγους ψιθύρους πλάσσων
εἰς ὦτα φέρει πᾶσιν Ὀδυσσεύς,
150 *καὶ σφόδρα πείθει· περὶ γὰρ σοῦ νῦν*
εὔπειστα λέγει, καὶ πᾶς ὁ κλύων
τοῦ λέξαντος χαίρει μᾶλλον,
τοῖς σοῖς ἄχεσιν καθυβρίζων.

130 *μακρῶι* Blaydes | *βάρει* **O**^{pc}**P**, **A** in lin., **XrXs** vel **Xs**^{pc}**Zc** || **131** *ἦμαρ ἓν* anon. || **133** *ἄνους* Morstadt || **135** *ἀγχίαλον* **H** et coni. Bothe, alii *-ου* rell. || **140** *πτηνῆς ὡς ὄμμα πελείας* codd.: corr. Pierson: cf. 167–171 || **146** *λοιπή*] *κοινὴ* et *κλοπή* **G**^{γρ} *κοινή* frequens gl. in aliis || **149** *πάντων* **LC**, et gl. in nonnullis || **151** *εὔπιστα* **L**^{ac}**GQRZc**, fort. **T**^{pc}

τῶν γὰρ μεγάλων ψυχῶν ἱεὶς
155 οὐκ ἂν ἁμάρτοι· κατὰ δ' ἄν τις ἐμοῦ
τοιαῦτα λέγων οὐκ ἂν πείθοι.
πρὸς γὰρ τὸν ἔχονθ' ὁ φθόνος ἕρπει·
καίτοι σμικροὶ μεγάλων χωρὶς
σφαλερὸν πύργου ῥῦμα πέλονται·
160 μετὰ γὰρ μεγάλων βαιὸς ἄριστ' ἂν
καὶ μέγας ὀρθοῖθ' ὑπὸ μικροτέρων.
ἀλλ' οὐ δυνατὸν τοὺς ἀνοήτους
τούτων γνώμας προδιδάσκειν.
ὑπὸ τοιούτων ἀνδρῶν θορυβῆι·
165 χἠμεῖς οὐδὲν σθένομεν πρὸς ταῦτ'
ἀπαλέξασθαι σοῦ χωρίς, ἄναξ.
ἀλλ' ὅτε γὰρ δὴ τὸ σὸν ὄμμ' ἀπέδραν,
παταγοῦσιν ἅτε πτηνῶν ἀγέλαι·
μέγαν αἰγυπιὸν δ' ὑποδείσαντες
170 τάχ' ἄν, ἐξαίφνης εἰ σὺ φανείης,
σιγῆι πτήξειαν ἄφωνοι.

ἦ ῥά σε Ταυροπόλα Διὸς Ἄρτεμις, στρ.
ὦ μεγάλα φάτις, ὦ
μᾶτερ αἰσχύνας ἐμᾶς,
175 ὥρμασε πανδάμους ἐπὶ βοῦς ἀγελαίας,
ἦ πού τινος νίκας ἀκαρπώτου χάριν,

154 γὰρ] μὲν Gnom. ‖ 155 ἁμάρτοις Suda 3, 138, 9, Gnom., et fort. L^{ac} ‖ 159 χαλεπὸν Suda 4, 306, 28 (verum F) | πύργων N πύργον F^{ac} ‖ 161 μικροτέρων LF, Stobaei M 4, 6, 9 μικρῶν ZcT σμικροτέρων rell. ‖ 168 ἅπερ LF^{ac}O^{ac}VR, fort. D^{ac} ἅτερ G^{ac} et ut vid. voluit O^{pc} ‖ 169 δ' Dawes: om. codd. ‖ 176 ἦ πού rec. ἤ πού codd. nostri | ἀκάρπωτον codd.: corr. Johnson

ἤ ῥα κλυτῶν ἐνάρων
ψευσθεῖσ', ἀδώροις ἤ 'π' ἐλαφαβολίαις;
ἢ χαλκοθώραξ σοί τιν' Ἐνυάλιος
180 *μομφὰν ἔχων ξυνοῦ δορὸς ἐννυχίοις*
μαχαναῖς ἐτείσατο λώβαν;

οὔποτε τᾶν φρενόθεν γ' ἐπ' ἀριστερά, — ἀντ.
παῖ Τελαμῶνος, ἔβας
185 *τόσσον ἐν ποίμναις πίτνων·*
ἥκοι γὰρ ἂν θεία νόσος· ἀλλ' ἀπερύκοι
καὶ Ζεὺς κακὰν καὶ Φοῖβος Ἀργείων φάτιν.
εἰ δ' ὑποβαλλόμενοι
κλέπτουσι μύθους οἱ μεγάλοι βασιλῆς,
190 *ἢ παῖς ἀσώτου Σισυφιδᾶν γενεᾶς,*
μὴ μή, ἄναξ, ἔθ' ὧδ' ἐφάλοις κλισίαις
ὄμμ' ἔχων κακὰν φάτιν ἄρηι.

ἀλλ' ἄνα ἐξ ἑδράνων — ἐπῳδ.
ὅπου μακραίωνι
195 *στηρίζηι πόδα τᾶιδ' ἀγωνίωι σχολᾶι,*

177 *ἤ ῥα*] exspectares *εἴτε ἦρα* Hermann ‖ **178** *ψευσθεῖσα δώροις* codd.: corr. Etienne | *ἤ 'π'* Blaydes *ἤ τ'* **T** *εἴτ'* rell. ‖ **179** *σοί τιν'* Reiske *ἤ τιν'* **A** *ἢ* vel *ἤ* et *τίν'* vel *τιν'* rell. ‖ **181** *μηχαναῖς* **H**, fort. recte ‖ **182** *τᾶν* Dawe *γὰρ* codd. ‖ **185** *τόσσον* **LCFHNPXs**^{ac}**T** *τόσον* **Xs**^{pc} rell. Suda 4, 761, 7 | *ποίμναις* **ZcT** *ποίμναισι* rell. Suda | *πίτνειν* Hartung ‖ **189** *βασιλῆς* **LO**, Herodianus *-ηις* **ZcT** *-εῖς* rell. (nisi *-ῆς* volunt compend. **CVGQR**) ‖ **190** *παῖς* Johnson *τῆς* **HVZc** *τᾶς* rell. | *Σισυφίδα* **L**$^{s\gamma\rho}$, et **G**$^{s\gamma\rho}$ inter **Σ** ‖ **191** *μὴ μή* Blaydes *μή μ'* **OVG** *μὴ μή μ'* rell. | *μὴ μηκέθ' ὧδ' ἄναξ* Blaydes ‖ **192** *ἄρηι* **LF**^{pc}**PGQRAXrXs** *ἄρης* **C**$^{\gamma\rho}$**F**^{ac}**HNOVDZrZcT** *ἀφῆ* **C** ‖ **193** *ἄνα ἐξ*] *ἄναξ* **F**^{ac}**HORZr** Suda 2, 207, 11 ‖ **195** *πόδα* Morstadt *ποτὶ* **Zc**, et coni. Ritschl *ποτὲ* rell. | *ἀγωνίαι* **CHDZr**

ἄταν οὐρανίαν φλέγων·
ἐχθρῶν δ' ὕβρις ὧδ' ἀτάρβητα
ὁρμᾶται ἐν εὐανέμοις βάσσαις,
πάντων καχαζόντων
γλώσσαις βαρυάλγητα·
200 ἐμοὶ δ' ἄχος ἕστακεν.

ΤΕΚΜΗΣΣΑ

ναὸς ἀρωγοὶ τῆς Αἴαντος,
γενεᾶς χθονίων ἀπ' Ἐρεχθειδᾶν,
ἔχομεν στοναχὰς οἱ κηδόμενοι
τοῦ Τελαμῶνος τηλόθεν οἴκου·
205 νῦν γὰρ ὁ δεινὸς μέγας ὠμοκρατὴς
Αἴας θολερῶι
κεῖται χειμῶνι νοσήσας.

ΧΟ. τί δ' ἐνήλλακται τῆς ἀμερίας
⟨⏑⏑–⏑⏑– ⏑⏑–⏑⏑–
⏑⏑–⏑⏑–⟩ νὺξ ἥδε βάρος;
210 παῖ τοῦ Φρυγίοιο Τελεύταντος,
λέγ', ἐπεί σε λέχος δουριάλωτον
στέρξας ἀνέχει θούριος Αἴας,
ὥστ' οὐκ ἂν ἄϊδρις ὑπείποις.

197 *ἀταρβήτως* N, Suda 1, 399, 28, Zonaras, et gl. in nonnullis || **198** *ὁρμᾶται* **T** *ὁρμᾶι* **D**[ac] et Suda *ὁρμᾶτ'* rell. || **199** *καχαζόντων* rec. *βακχαζόντων* **L**[ac]**GQ** *βαγχαζόντων* **L**[pc] *βακχεζόντων* **R** *καλ-* incepit **F**[ac] *καγχαζόντων* **F**[pc] rell. || **202** *γενεὰ* Reiske || **205** *μέγας* **OV** *ὁ μέγας* rell. || **208** fort. *ἀμερινᾶς* | lacunam unius monometri indicavit Bruhn, trium Dawe || **210** *Φρυγίοιο* J. G. Jaeger *Φρυγίου* codd. *Φρυγίου* ⟨*σὺ*⟩ Porson | *Τελλεύταντος* **AXr**, cf. 331 || **211** *δουριάλωτον* Brunck *δορυ-* seu *δορι-* ut solent codd. || **212** *στέρξασαν ἔχει* novit Σ: idem ut vid. **L**[ac]

ΤΕ. πῶς δῆτα λέγω λόγον ἄρρητον;
215 θανάτωι γὰρ ἴσον πάθος ἐκπεύσηι.
μανίαι γὰρ ἁλοὺς ἡμὶν ὁ κλεινὸς
νύκτερος Αἴας ἀπελωβήθη·
τοιαῦτ' ἂν ἴδοις σκηνῆς ἔνδον
χειροδάϊκτα σφάγι' αἱμοβαφῆ,
220 κείνου χρηστήρια τἀνδρός.

ΧΟ. οἵαν ἐδήλωσας στρ.
ἀνέρος αἴθονος ἀγγελίαν,
ἄτλατον οὐδὲ φευκτάν,
225 τῶν μεγάλων Δαναῶν ὕπο κληιζομέναν,
τὰν ὁ μέγας μῦθος ἀέξει.
ὤμοι, φοβοῦμαι τὸ προσέρπον· περίφαντος ἀνὴρ
230 θανεῖται, παραπλήκτωι χερὶ συγκατακτὰς
κελαινοῖς ξίφεσιν βοτὰ καὶ
βοτῆρας ἱππονώμας.

ΤΕ. ὤμοι· κεῖθεν κεῖθεν ἄρ' ἡμῖν
δεσμῶτιν ἄγων ἤλυθε ποίμναν·
235 ὧν τὰ μὲν εἴσω σφάζ' ἐπὶ γαίας,
τὰ δὲ πλευροκοπῶν δίχ' ἀνερρήγνυ·

215 βάρος L^{ac} s.l., $F^{s\gamma\varrho}$NT, idem sed post ἐκπεύσῃ **GR** (πάθος $G^{\gamma\varrho}$) || 222 ἀνδρὸς codd.: corr. Hermann | αἴθονος **N**, **ΣN**, L^{pc} in lin. αἴθοπος L^{1} s. l., **ADXsZcT**, Suda 2, 166, 1 αἴθωνος L^{ac} rell. || 224 φευκτὸν L^{ac}, Suda φευκτὴν **CT** φερτὰν **P** || 225 μελέων Lloyd-Jones et Wilson | ὕπο κλ. Par. gr. 2820 ὑπὸ κλ. **H** ὑπὸ ante τῶν μ. Δ. dein κλ. **P** ὑποκλ- rell. || 226 μιγὰς Reiske || 227 ὤιμοι **L** οἴμοι **AXrXsZr** || 230 παραπλάκτωι **H** s. l., coni. Blaydes || 232 ἱππονώμας fort. L^{ac} ἱππονόμας **CO** ἱππονόμους L^{2pc} rell. || 235 τὰ **T** τὸ **Xs** τὸν **Zr** τὴν rell. | εἴσω **T** om. **CXsZr** ἔξω **GQR** ἔσω rell. | σφάξ' **LFGQR** ἔσφαξ' **Xs** ἔσφαξεν **C** ἔσφαζ' **Zr** || 236 τὰ **T** τὰς rell.

δύο δ' ἀργίποδας κριοὺς ἀνελών,
τοῦ μὲν κεφαλὴν καὶ γλῶσσαν ἄκραν
ῥιπτεῖ θερίσας, τὸν δ' ὀρθὸν ἄνω
240 κίονι δήσας
μέγαν ἱπποδέτην ῥυτῆρα λαβὼν
παίει λιγυρᾶι μάστιγι διπλῆι,
κακὰ δεννάζων ῥήμαθ' ἃ δαίμων
κοὐδεὶς ἀνδρῶν ἐδίδαξεν.

245 ΧΟ. ὥρα τιν' ἤδη τοι ἀντ.
κρᾶτα καλύμμασι κρυψάμενον
ποδοῖν κλοπὰν ἀρέσθαι,
ἢ θοὸν εἰρεσίας ζυγὸν ἑζόμενον
250 ποντοπόρωι ναῒ μεθεῖναι·
τοίας ἐρέσσουσιν ἀπειλὰς δικρατεῖς Ἀτρεῖδαι
καθ' ἡμῶν· πεφόβημαι λιθόλευστον Ἄρη
255 ξυναλγεῖν μετὰ τοῦδε τυπείς,
τὸν αἶσ' ἄπλατος ἴσχει.

ΤΕ. οὐκέτι· λαμπρᾶς γὰρ ὑπὸ στεροπᾶς
ᾄξας ὀξὺς νότος ὣς λήγει,
καὶ νῦν φρόνιμος νέον ἄλγος ἔχει·
260 τὸ γὰρ ἐσλεύσσειν οἰκεῖα πάθη,

238 *τῷ* **V, C** in lin. || **241** *ἱππολέτην* **L**[ac]**H, ΣL** in lemmate, fort. **Zc**[ac], et olim novit **F** || **245** *τοι* om. **HNVAXsZc**[ac]**T** et Eustath. 237, 14 *τὸ* **F**[ac] || **246** *κάρα* **T**, fort. **Zc**[ac] | *καλύμματι* Eustathius || **251** *ἐρείσουσιν* Wieseler || **254** *Ἄρη* **LAXr** *Ἄρην* rell. || **256** *ἄπλαστος* **GQRZr**, Suda 1, 289, 12 || **257** *ὑπὸ στεροπᾶς* (quod ipse haud recte intellexit) Paehler: cf. Ibyc. 286 Page vv. 8–10 *λαμπρᾶς γὰρ* codd. (*γὰρ* om. **Q**), dein *ἀστεροπᾶς* et *τερ* s. l. quasi gl. **O** *ἄτερ ἀστεροπᾶς* **V** *ἀστεροπᾶς* **GR** et vult **Q** *ἄπερ στεροπᾶς* **A** vel **A**[c] *ἄτερ στεροπᾶς* rell.

μηδενὸς ἄλλου παραπράξαντος,
μεγάλας ὀδύνας ὑποτείνει.

ΧΟ. ἀλλ' εἰ πέπαυται, κάρτ' ἂν εὐτυχεῖν δοκῶ·
φρούδου γὰρ ἤδη τοῦ κακοῦ μείων λόγος.
265 ΤΕ. πότερα δ' ἄν, εἰ νέμοι τις αἵρεσιν, λάβοις·
φίλους ἀνιῶν αὐτὸς ἡδονὰς ἔχειν
ἢ κοινὸς ἐν κοινοῖσι λυπεῖσθαι ξυνών;
ΧΟ. τό τοι διπλάζον, ὦ γύναι, μεῖζον κακόν.
ΤΕ. ἡμεῖς ἄρ' οὐ νοσοῦντος ἀτώμεσθα νῦν.
270 ΧΟ. πῶς τοῦτ' ἔλεξας; οὐ κάτοιδ' ὅπως λέγεις.
ΤΕ. ἀνὴρ ἐκεῖνος, ἡνίκ' ἦν ἐν τῆι νόσωι,
αὐτὸς μὲν ἥδεθ' οἷσιν εἴχετ' ἐν κακοῖς,
ἡμᾶς δὲ τοὺς φρονοῦντας ἠνία ξυνών·
νῦν δ' ὡς ἔληξε κἀνέπνευσε τῆς νόσου,
275 κεῖνός τε λύπηι πᾶς ἐλήλαται κακῆι
ἡμεῖς θ' ὁμοίως οὐδὲν ἧσσον ἢ πάρος.
ἆρ' ἔστι ταῦτα δὶς τόσ' ἐξ ἁπλῶν κακά;
ΧΟ. ξύμφημι δή σοι καὶ δέδοικα μὴ 'κ θεοῦ
πληγή τις ἥκει· πῶς γάρ, εἰ πεπαυμένος
280 μηδέν τι μᾶλλον ἢ νοσῶν εὐφραίνεται;
ΤΕ. ὡς ὧδ' ἐχόντων τῶνδ' ἐπίστασθαί σε χρή.
ΧΟ. τίς γάρ ποτ' ἀρχὴ τοῦ κακοῦ προσέπτατο;
δήλωσον ἡμῖν, τοῖς ξυναλγοῦσιν τύχας.
ΤΕ. ἅπαν μαθήσηι τοὔργον, ὡς κοινωνὸς ὤν.
285 κεῖνος γὰρ ἄκρας νυκτός, ἡνίχ' ἕσπεροι
λαμπτῆρες οὐκέτ' ἦιθον, ἄμφηκες λαβὼν

266 *ἀνιᾶν* N[ac] || **269** *γ' ἄρ'* **HV** | *νοσοῦντες* codd.: corr. Hermann || **273** *βλέποντας* L[sγρ] || **274** *κἀπέπαυσε* **QR**, fort. D[ac] *κατέπαυσε* **G** (*ἀνέπνευσε* G[γρ]) || **279** *ἥκει* **Zr** *ἥκοι* rell. *ἥκηι* Suda 2, 16, 13 || **280** *οὐδέν* **P** || **286** *ἦλθον* O[pc]**VZr** et fort. D[ac], Sudae **FV** 3, 233, 28

ἐμαίετ' ἔγχος ἐξόδους ἕρπειν νέας·
κἀγὼ 'πιπλήσσω καὶ λέγω· τί χρῆμα δρᾶις,
Αἴας; τί τήνδ' ἄκλητος οὔθ' ὑπ' ἀγγέλων
290 κληθεὶς ἀφορμᾶις πεῖραν, οὔτε του κλύων
σάλπιγγος; ἀλλὰ νῦν γε πᾶς εὕδει στρατός.
ὁ δ' εἶπε πρός με βαί', ἀεὶ δ' ὑμνούμενα·
γύναι, γυναιξὶ κόσμον ἡ σιγὴ φέρει.
κἀγὼ μαθοῦσ' ἔληξ', ὁ δ' ἐσσύθη μόνος.
295 καὶ τὰς ἐκεῖ μὲν οὐκ ἔχω φράζειν πάθας·
ἔσω δ' ἐσῆλθε συνδέτους ἄγων ὁμοῦ
ταύρους, κύνας βοτῆρας, εὔερόν τ' ἄγραν.
καὶ τοὺς μὲν ηὐχένιζε, τοὺς δ' ἄνω τρέπων
ἔσφαζε κἀρράχιζε, τοὺς δὲ δεσμίους
300 ἠικίζεθ' ὥστε φῶτας ἐν ποίμναις πίτνων.
τέλος δ' ἀπάιξας διὰ θυρῶν σκιᾶι τινι
λόγους ἀνέσπα, τοὺς μὲν Ἀτρειδῶν κάτα,
τοὺς δ' ἀμφ' Ὀδυσσεῖ, συντιθεὶς γέλων πολύν,
ὅσην κατ' αὐτῶν ὕβριν ἐκτείσαιτ' ἰών.
305 κἄπειτ' ἐνάιξας αὖθις ἐς δόμους πάλιν
ἔμφρων μόλις πως ξὺν χρόνωι καθίσταται.

287 *νέας* Dawe *κενάς* codd. ‖ **289** *Αἶαν* **P** Suda 4, 822, 5 | *τήνδ'*] *τῶιδ'* Suda ‖ **290** *ἐφορμᾶις* **FHVXrZrZcT** ‖ **292** *πρὸς ἐμὲ* Diggle ‖ **293** *γυναικὶ* pap. Oxy. 2093 in lin. et Aristot. Pol. 1260 a 30 ‖ **295** *ἐκεῖ μὲν*] *μὲν ἔνδον* Suda 4, 2, 14 | *φράζειν* **J** et cod. Par. gr. 2598 *λέγειν* rell., quod ante *ἔχω* collocat **G** | *πάθας*] *τύχας* **C**[gl]**T** ‖ **297** *εὔκερον* **Q** *εὔκερων* rell.: corr. Schneidewin | *τ'* om. **GQR** ‖ **298** *στρέφων* Blaydes ‖ **300** *ὥσπερ* **P** *ὧτε* **Q**[ac] | *ὥστε φῶρας ἐν ποιναῖς πέφνων* haud male Musgrave, sed exspectares participium quale *κακῶν* ‖ **301** *ἀπάιξας* pap. Oxy. 2093 **LC**[pc]**HNOQR** *ὑπ-* **A** vel **A**[pc]**XrXs** *ἐπ-* **C**[ac] rell. ‖ **303** *συντιθεὶς*] *ξυν-* pap. | *πολὺν γέλων* **FGQR** ‖ **305** *ἐνάιξας* pap. *ἀπάιξας* **L**[pc]**C**[ac]**F**[ac]**HPQR** *ἀπάξαις* **L**[ac] *ἐπάιξας* rell. ‖ **306** *ξὺν*] *ἐν* **P**

καὶ πλῆρες ἄτης ὡς διοπτεύει στέγος,
παίσας κάρα 'θώυξεν· ἐν δ' ἐρειπίοις
νεκρῶν ἐρειφθεὶς ἕζετ' ἀρνείου φόνου,
310 κόμην ἀπρὶξ ὄνυξι συλλαβὼν χερί.
καὶ τὸν μὲν ἧστο πλεῖστον ἄφθογγος χρόνον·
ἔπειτ' ἐμοὶ τὰ δείν' ἐπηπείλησ' ἔπη
εἰ μὴ φανοίην πᾶν τὸ συντυχὸν πάθος.
[κἀνήρετ' ἐν τῶι πράγματος κυροῖ ποτε.]
315 κἀγώ, φίλοι, δείσασα τοὐξειργασμένον
ἔλεξα πᾶν ὅσονπερ ἐξηπιστάμην.
ὁ δ' εὐθὺς ἐξῴμωξεν οἰμωγὰς λυγράς,
ἃς οὔποτ' αὐτοῦ πρόσθεν εἰσήκουσ' ἐγώ.
πρὸς γὰρ κακοῦ τε καὶ βραχυψύχου γόους
320 τοιούσδ' ἀεί ποτ' ἀνδρὸς ἐξηγεῖτ' ἔχειν·
ἀλλ' ἀψόφητος ὀξέων κωκυμάτων
ὑπεστέναζε ταῦρος ὣς βρυχώμενος.
νῦν δ' ἐν τοιᾶιδε κείμενος κακῆι τύχηι
ἄσιτος ἀνήρ, ἄποτος, ἐν μέσοις βοτοῖς
325 σιδηροκμῆσιν ἥσυχος θακεῖ πεσών,
καὶ δῆλός ἐστιν ὥς τι δρασείων κακόν.
[τοιαῦτα γάρ πως καὶ λέγει κὠδύρεται.]
ἀλλ' ὦ φίλοι, τούτων γὰρ οὕνεκ' ἐστάλην,

309 *ἐρεισθεὶς* L$^{\gamma\rho}$ *ἐ(ρ)ριφθεὶς* fere rell. et Suda 2, 409, 23 ‖ **310** *χεροῖν* rec. *χερός* F^{c} et s.l. **HN** *χειρός* P^{gl} ‖ **311** *καὶ τὸν*] *καὐτοῦ* Usener ‖ **313** *φανοίην* **Xr** *φανείη* **Zr** *φανείην* rell. ‖ **314** eiecit Nauck | *πράγματος* **LFH**^{ac}**NOPAXrXsZr**^{ac}**T** *πράγματι* **CH**^{pc}**VGQRDZr**^{pc}**Zc**, **P**^{2} s.l. | *κυροῖ* **LNGQR** *κυριοῖ* vel *κυριεῖ* **V** *κυρεῖ* rell. ‖ **319** *βαρυψύχου* codd.: corr. Naber ‖ **322** *μυκώμενος* **T** ‖ **327** eiecit Nauck, cf. 383: *γελᾶι* etiam hic **J** ‖ **328** *τούτου* **Xs** | *εἵνεκ'* **DZc** *ἕνεκ'* **P**

ἀρήξατ' εἰσελθόντες, εἰ δύνασθέ τι·
330 φίλων γὰρ οἱ τοιοίδε νικῶνται λόγοις.
ΧΟ. Τέκμησσα, δεινά, παῖ Τελεύταντος, λέγεις
ΤΕ. ἡμῖν τὸν ἄνδρα διαπεφοιβάσθαι κακοῖς.
ΑΙ. ἰώ μοί μοι.
ΤΕ. τάχ', ὡς ἔοικε, μᾶλλον· ἢ οὐκ ἠκούσατε
335 Αἴαντος οἵαν τήνδε θωΰσσει βοήν;
ΑΙ. ἰώ μοί μοι.
ΧΟ. ἀνὴρ ἔοικεν ἢ νοσεῖν, ἢ τοῖς πάλαι
νοσήμασιν παροῦσι λυπεῖσθαι ξυνών.
ΑΙ. ἰὼ παῖ παῖ.
340 ΤΕ. ὤμοι τάλαιν', Εὐρύσακες, ἀμφὶ σοὶ βοᾶι.
τί ποτε μενοινᾶι; ποῦ ποτ' εἶ; τάλαιν' ἐγώ.
ΑΙ. Τεῦκρον καλῶ, ποῦ Τεῦκρος; ἦ τὸν εἰσαεὶ
λεηλατήσει χρόνον, ἐγὼ δ' ἀπόλλυμαι;
ΧΟ. ἀνὴρ φρονεῖν ἔοικεν· ἀλλ' ἀνοίγετε·
345 τάχ' ἄν τιν' αἰδῶ κἀπ' ἐμοὶ βλέψας λάβοι.
ΤΕ. ἰδού, διοίγω· προσβλέπειν δ' ἔξεστί σοι
τὰ τοῦδε πράγη, καὐτὸς ὡς ἔχων κυρεῖ.

ΑΙ. ἰὼ στρ. α
φίλοι ναυβάται, μόνοι ἐμῶν φίλων,
350 μόνοι ἔτ' ἐμμένοντες ὀρθῶι νόμωι,

330 *φίλων*] *φίλοι* G^{ac} *φίλω* N^{ac} | *λόγοις* $Xs^{γρ}$ et Stobaeus 5, 1013, 4, sed cave ne haec commenticia lectio sit: *φίλοι* rell. || **331** *δεινὰ* cum *διαπεφοιβάσθαι* intelligendum est | *Τελλεύταντος* **Xr** s. l., fort. $D^{ac}Zc^{ac}$ || **332** *διαπεφοιβάσθαι* **AXrXs** *-βᾶσθαι* rell. *διαπεφοιτάσθαι* Valckenaer: utrumque novit **Σ** || **338** *νοσήμασι ξυνοῦσι λυπεῖσθαι παρών* codd.: corr. Blaydes || **342** *ἦ* **NPRG**^{pc} Q^{pc} *ἢ* $G^{ac}Q^{ac}$ rell. || **345** *χἀπ'* L^{ac} *χὐπ'* **P** | *κἀπ' ἐμὲ* Herwerden || **346** *δ'* om. **PAZc**^{ac} || **347** *καὐτὸν* **N** || **348** *ἰώ μοι* **T** || **350** *ἔτ'* Hermann *τ'* codd.

ἴδεσθέ μ' οἷον ἄρτι κῦ-
μα φοινίας ὑπὸ ζάλης
ἀμφίδρομον κυκλεῖται.

ΧΟ. *οἴμ' ὡς ἔοικας ὀρθὰ μαρτυρεῖν ἄγαν·*
355 *δηλοῖ δὲ τοὔργον ὡς ἀφροντίστως ἔχει.*

ΑΙ. *ἰὼ* — *ἀντ. α*
γένος ναΐας ἀρωγὸν τέχνας,
ἅλιον ὃς ἐπέβας ἑλίσσων πλάταν,
σέ τοι σέ τοι μόνον δέδορ-
360 *κα πημονὰν ἐπαρκέσοντ'·*
ἀλλά με συνδάϊξον.

ΧΟ. *εὔφημα φώνει· μὴ κακὸν κακῶι διδοὺς*
ἄκος πλέον τὸ πῆμα τῆς ἄτης τίθει.

ΑΙ. *ὁρᾶις τὸν θρασύν, τὸν εὐκάρδιον,* — *στρ. β*
365 *τὸν ἐν δαΐοις ἄτρεστον μάχας,*
ἐν ἀφόβοις με θηρσὶ δεινὸν χέρας;
οἴμοι γέλωτος, οἷον ὑβρίσθην ἄρα.
ΤΕ. *μή, δέσποτ' Αἴας, λίσσομαί σ', αὔδα τάδε.*
ΑΙ. *οὐκ ἐκτός; οὐκ ἄψορρον ἐκνεμῆι πόδα;*
370 *αἰαῖ αἰαῖ.*

351 *ἄρτι*] *ἄρα* **GR** *ἀρτίως* **G**^{γρ} || **352** *ἀπὸ* **GQR** et fort. **N**^{ac} **A**^{ac} || **356** *ἰώ μοι* **T** || **358** *ἀλίαν* codd.: corr. Hermann || **360** *ποιμένων* codd.: corr. Reiske | *ἐπαρκέσαντ'* **F**^{pc}**G** || **362** *κακῶι κακὸν* **Zc** || **363** *τίθης* **Xs** || **364** *τόν θ' εὐκάρδιον* **G** || **365** *δαΐοις* **LC**^{ac}**F H**^{ac}**NGQA, Zc** s. l. *δαΐαις* **C**^{pc}**H**^{pc} rell. | *ἄτρεπτον* **F**, verum **F**^{2γρ} | *μάχαις* codd.: corr. Blaydes; cf. [Aesch.] Prom. 416 || **367** *ὤιμοι* **LZc** | *ἄρα*] *τάλας* **F**^{sγρ} || **369** *ἐκνέμεις* **C** *ἐκνεμεῖς* **D**, et coni. Blaydes || **370** *αἶ* vel *αἴ* quater **CFNOVGRD**^{ac}**ZrT** ter **LPA D**^{pc}**XrXs** sexies **HQ** septies, cum *ἒ* septies s. l., **Zc**

XO. ὦ πρὸς θεῶν ὕπεικε καὶ φρόνησον εὖ.
AI. ὢ δύσμορος, ὃς χερὶ μὲν
μεθῆκα τοὺς ἀλάστορας,
ἐν δ' ἑλίκεσσι βουσὶ καὶ
375 κτίλοις πεσὼν αἰπολίοις
ἐρεμνὸν αἷμ' ἔδευσα.

XO. τί δῆτ' ἂν ἀλγοίης ἐπ' ἐξειργασμένοις;
οὐ γὰρ γένοιτ' ἂν ταῦθ' ὅπως οὐχ ὧδ' ἔχειν.

AI. ἰὼ πάνθ' ὁρῶν, ἅπαντ' ἀΐων, ἀντ. β
380 κακῶν ὄργανον, τέκνον Λαρτίου,
κακοπινέστατόν τ' ἄλημα στρατοῦ,
ἦ που πολὺν γέλωθ' ὑφ' ἡδονῆς ἄγεις.
XO. ξὺν τῶι θεῶι πᾶς καὶ γελᾶι κὠδύρεται.
AI. ἴδοιμι ⟨–⟩ νιν, καίπερ ὧδ' ἀτώμενος...
385 ἰώ μοί μοι.
XO. μηδὲν μέγ' εἴπηις· οὐχ ὁρᾶις ἵν' εἶ κακοῦ;
AI. ὦ Ζεῦ προγόνων προπάτωρ,

371 Tecmessae trib. rec. et O. Müller ‖ **372** *ἰὼ* **T** et fort. **Q**^{ac} | *χερὶ μὲν* Hermann *χεροῖν* **T**, quod pro genetivo recepit Pearson *χερσὶ μὲν* rell. ‖ **375** *κτίλοις* Musgrave *κλυτοῖς* codd. ‖ **378** *οὔτε γὰρ* Suda 4, 547, 12 | *ἔχει* Sudae ed. Mediol. *ἔχηι* **C**^{pc} *ἔχοι* Herwerden (*ὅπως ταῦτα μὴ οὕτως σχοίη* **Σ**, *ὅπως τοῦ μὴ οὕτως σχοίη* Suda) ‖ **379** *πᾶν θ' ὁρῶν* **CNXs**, et coni. Elmsley *πάντα δρῶν* repudiat Wakefield | *ἅπαντ'* Lloyd Jones et Wilson *ἁπάντων* **F**^{ac}**NV** *ἁπάντων τ'* rell. | *ἀΐων* **F**^{ac}**C**^{c}**N**^{sc}**Xs**^{2pc} et **O**^{ac} vel **O**^{pc} (*ἀεὶ* **N**^{γρ}) *ἀ<u>εὶ</u>* * **D**^{c} *εὐεὶ* **R** in lin. *ἀεὶ* rell. ‖ **380** *Λαρτίου* **RT** *Λαερτίου* rell. ‖ **382** *γέλων* **F** s. l., Sudae **SM** 1, 110, 8 | *ἔχεις* **R**, et gl. in nonnullis ‖ **383** *τῶι*] *τοι* Schneidewin | *θεῶι*] *θεῶι γὰρ* Sudae **FV** 3, 503, 8 ‖ **384** ⟨*δή*⟩ **T** ⟨*ἐγώ*⟩ Elmsley | *ἴδοι μιν ὧδ'* Suda 1, 406, 22 ‖ **387** *ἰὼ* **T** | *προπάτωρ* **LVADZr**, et in lin. **FXs**, etiam **O** s. l. *προπάτερ* **Q**^{ac} *πάτερ* **T** (*ὡς καὶ ἔν τινι τῶν βιβλίων εὕρηται* **ΣT**) *προπάτορ* **O** in lin., s. l. in **FXs**, **Q**^{pc} rell.

πῶς ἂν τὸν αἱμυλώτατον,
ἐχθρὸν ἄλημα, τούς τε δισσ-
390 *άρχας ὀλέσσας βασιλῆς,*
τέλος θάνοιμι καὐτός;

ΤΕ. *ὅταν κατεύχηι ταῦθ', ὁμοῦ κἀμοὶ θανεῖν*
εὔχου· τί γὰρ δεῖ ζῆν με, σοῦ τεθνηκότος;

ΑΙ. *ἰὼ* *στρ. γ*
σκότος, ἐμὸν φάος,
395 *ἔρεβος ὦ φαεννότατον ὡς ἐμοί,*
ἕλεσθ' ἕλεσθέ μ' οἰκήτορα,
ἕλεσθέ μ'· οὔτε γὰρ θεῶν γένος
οὔθ' ἁμερίων ἔτ' ἄξιος
400 *βλέπειν τιν' εἰς ὄνησιν ἀνθρώπων.*
ἀλλά μ' ἁ Διὸς
ἀλκίμα θεὸς
ὀλέθριον αἰκίζει.
ποῖ τις οὖν φύγηι;
ποῖ μολὼν μενῶ,
405a *εἰ τὰ μὲν φθίνει,*
405b ⟨–⏑–⟩ *φίλοι,*
†*τοῖσδ' ὁμου πέλας,*†

389 *ἐχθρῶν* **F**, **A** s. l. *ἐχθρόν τ'* **Xs** | *ἄλημα στρατοῦ* **VGQ RZc** ‖ **390** *ὀλέσσας* **T** *ὀλέσας* rell. | *βασιλῆς* **LT**, Herodianus *-εῖς* rell. ‖ **396** *ἕλεσθ' ἕλεσθέ μ'* Elmsley *ἕλεσθ' ἕλεσθ'* **T** *ἕλεσθέ μ' ἕλεσθ'* **D**^{ac}**Zr** *ἕλεσθέ μ' ἕλεσθέ μ'* **D**^{pc} rell. ‖ **397** *ἕλεσθέ μ'*] *ἕλεσθ'* **GQ**; de **N**^{ac}**R**^{ac} incertum; *ἕλεσθ' ἕσθ'* **R**^{pc} ‖ **401** *Διός γ'* **T**, silente **ΣT** | *θεὰ* **PZc** | *ἀλλά με κήδει Διὸς ἀλκίμα θυγάτηρ* Etym. Vindob. ‖ **403** (cf. 420) *ὀλέθρι'* Dindorf *οὔλιον* Wunder: *οὔλιος* per *ὀλέθριος* explicant Hesychius et Suda ‖ **404** *φύγηι*] *τράπη* **L**$^{s\gamma\rho}$ *τραπῆ* **H**$^{s\gamma\rho}$ ‖ **405–406** hanc colometriam suadet de Gruys ‖ **405b** lacunam indicavit Palmer | *φίλοις* **Xr** s. l. ‖ **406** locus remedii expers | *ὁμου*] *ἡμεῖς* **N**^{ac}

μώραις δ' ἄγραις προσκείμεθα,
πᾶς δὲ στρατὸς δίπαλτος ἄν με χειρὶ φονεύοι.

410 *ΤΕ.* *ὢ δυστάλαινα, τοιάδ' ἄνδρα χρήσιμον*
φωνεῖν, ἃ πρόσθεν οὗτος οὐκ ἔτλη ποτ' ἄν.

ΑΙ. *ἰὼ* *ἀντ. γ*
πόροι ἁλίρροθοι
πάραλά τ' ἄντρα καὶ νέμος ἐπάκτιον,
πολὺν πολύν με δαρόν τε δὴ
415 *κατείχετ' ἀμφὶ Τροίαν χρόνον·*
ἀλλ' οὐκέτι μ', οὐκέτ' ἀμπνοὰς
ἔχοντα· τοῦτό τις φρονῶν ἴστω.
ὦ Σκαμάνδριοι
γείτονες ῥοαὶ
420 *εὔφρονες Ἀργείοις,*
οὐκέτ' ἄνδρα μὴ
τόνδ' ἴδητ', ἔπος
423a *ἐξερῶ μέγα,*
423b *οἷον οὔτινα*
Τρωία στρατοῦ
425 *δέρχθη χθονὸς μολόντ' ἀπὸ*
Ἑλλανίδος· τανῦν δ' ἄτιμος ὧδε πρόκειμαι.

407 *μώραις* **NQR** *μωραῖς* rell. | *τ'* **CZc** || **408** *δίπαλτ'* **P** (*παλτὸς* **P**^{gl}) || **412** *ἰὼ* Brunck *ὦ* **GQR**, et gl. in nonnullis: om. rell., sed ras. unius vel duarum litt. in **P** || **414** *με δαρόν τε*] *δαρόν τε* **Q** *με δαρὸν* **CZc** *δαρόν τε με* **T** | *δὴ*] *ὧδε* **C**^{c} om. **T** || **416** *μ'*] *γ'* Hermann || **418** *ὦ* **T** *ἰὼ* rell. | *Σκαμάνδροιο* **C**^{pc}**NO** || **420** *εὔφρονες* Hermann *εὔ-* codd. *δύσφρονες* Musgrave || **421** *μὴ* **LNAD XrXsZrT** *ἐμὲ* **V** *με* rell. || **423a** *ἐξερω* **H**^{ac} *ἐξερέω* **H**^{pc} rell. | *μέγ'* codd., alia colometria usi, qua accepta *οὔτιν' Ἴλιον* olim Dawe || **424** *Τρωία* Lloyd-Jones et Wilson *Τροία* codd.: cf. 1190 || **427** *πρόκειται* **L**^{ac}**OPVRZcT** (verum **O**^{gl}) et v. l. in **H**

ΧΟ. οὔτοι σ' ἀπείργειν, οὐδ' ὅπως ἐῶ λέγειν
ἔχω, κακοῖς τοιοῖσδε συμπεπτωκότα.

430 ΑΙ. αἰαῖ· τίς ἄν ποτ' ᾤεθ' ὧδ' ἐπώνυμον
τοὐμὸν ξυνοίσειν ὄνομα τοῖς ἐμοῖς κακοῖς;
νῦν γὰρ πάρεστι καὶ δὶς αἰάζειν ἐμοὶ
καὶ τρίς· τοιούτοις γὰρ κακοῖς ἐντυγχάνω·
ὅτου πατὴρ μὲν τῆσδ' ἀπ' Ἰδαίας χθονὸς
435 τὰ πρῶτα καλλιστεῖ' ἀριστεύσας στρατοῦ
πρὸς οἶκον ἦλθε πᾶσαν εὔκλειαν φέρων·
ἐγὼ δ' ὁ κείνου παῖς, τὸν αὐτὸν εἰς τόπον
Τροίας ἐπελθών, οὐκ ἐλάσσονι σθένει,
οὐδ' ἔργα μείω χειρὸς ἀρκέσας ἐμῆς,
440 ἄτιμος Ἀργείοισιν ὧδ' ἀπόλλυμαι.
καίτοι τοσοῦτόν γ' ἐξεπίστασθαι δοκῶ·
εἰ ζῶν Ἀχιλλεὺς τῶν ὅπλων τῶν ὧν πέρι
κρίνειν ἔμελλε κράτος ἀριστείας τινί,
οὐκ ἄν τις αὔτ' ἔμαρψεν ἄλλος ἀντ' ἐμοῦ.
445 νῦν δ' αὔτ' Ἀτρεῖδαι φωτὶ παντουργῶι φρένας
ἔπρασαν, ἀνδρὸς τοῦδ' ἀπώσαντες κράτη·
κεἰ μὴ τόδ' ὄμμα καὶ φρένες διάστροφοι
γνώμης ἀπῆιξαν τῆς ἐμῆς, οὐκ ἄν ποτε
δίκην κατ' ἄλλου φωτὸς ὧδ' ἐψήφισαν.
450 νῦν δ' ἡ Διὸς γοργῶπις ἀδάματος θεὰ

428 *οὐδ'* Elmsley *οὔθ'* codd.: vide Denniston Greek Particles[2] 509–510 || **433** *τοιοῖσδε* N | versum del. Morstadt || **438** *ἀπελθὼν* **PQ** || **441** *γ'* om. **PGQRT**, Suda 4, 574, 16 *δ'* **OV** || **443** *κρινεῖν* Blaydes || **445** *αὖ* **P** *ὧδ'* **GQRD** || **446** *ἔπρασαν* Hartung, optimo sensu, forma insolita: *ἔπραξαν* codd. || **447** *καὶ διάστροφοι φρένες* **GQR** *δ. κ. φ.* **Xs** || **448** *ἀπεῖρξαν* **GQRXr** *ἀπῆρξαν* **F**[pc]**H** || **450** *ἀδάμαστος* codd.: corr. Elmsley

ἤδη μ' ἐπ' αὐτοῖς χεῖρ' ἐπευθύνοντ' ἐμὴν
ἔσφηλεν, ἐμβαλοῦσα λυσσώδη νόσον,
ὥστ' ἐν τοιοῖσδε χεῖρας αἱμάξαι βοτοῖς.
κεῖνοι δ' ἐπεγγελῶσιν ἐκπεφευγότες,
455 *ἐμοῦ μὲν οὐχ ἑκόντος· εἰ δέ τις θεῶν*
βλάπτοι, φύγοι τἂν χὠ κακὸς τὸν κρείσσονα.
καὶ νῦν τί χρὴ δρᾶν; ὅστις ἐμφανῶς θεοῖς
ἐχθαίρομαι, μισεῖ δέ μ' Ἑλλήνων στρατός,
ἔχθει δὲ Τροία πᾶσα καὶ πεδία τάδε.
460 *πότερα πρὸς οἴκους, ναυλόχους λιπὼν ἕδρας*
μόνους τ' Ἀτρείδας, πέλαγος Αἰγαῖον περῶ;
καὶ ποῖον ὄμμα πατρὶ δηλώσω φανεὶς
Τελαμῶνι; πῶς με τλήσεταί ποτ' εἰσιδεῖν
γυμνὸν φανέντα, τῶν ἀριστείων ἄτερ,
465 *ὧν αὐτὸς ἔσχε στέφανον εὐκλείας μέγαν;*
οὐκ ἔστι τοὔργον τλητόν. ἀλλὰ δῆτ' ἰὼν
πρὸς ἔρυμα Τρώων, ξυμπεσὼν μόνος μόνοις
καὶ δρῶν τι χρηστόν, εἶτα λοίσθιον θάνω;
ἀλλ' ὧδέ γ' Ἀτρείδας ἂν εὐφράναιμί που.
470 *οὐκ ἔστι ταῦτα· πεῖρά τις ζητητέα*
τοιάδ' ἀφ' ἧς γέροντι δηλώσω πατρὶ
μή τοι φύσιν γ' ἄσπλαγχνος ἐκ κείνου γεγώς.

451 *ἐπευθύνοντ'* L^{ac}C *ἐπεντείνοντ'* H^{pc}VZc^{c}T, **G** s.l., fort. F^{ac}D^{ac} *ἐπεντύνοντ'* L^{pc}H^{ac}F^{pc}D^{pc} rell. ‖ **452** *λυσσώδει* **(AM)** *νόσωι* Suda 1, 46, 9 ‖ **453** *αἰχμάσαι* Σ: cf. 97 ‖ **455** *ἔχοντος* Σ^{γρ} *κιχόντος* Naber ‖ **456** *βλάπτει* Reisig | aut *φύγοι τἂν* aut *φύγοιτ' ἂν* **CQZc** *φύγοι γ' ἂν* **Q** s.l., rell. ‖ **457** *δρᾶν με* **N**, et (*μ'*) coni. Morstadt ‖ **460** *πότερον* **P** | *ἕδρας λιπὼν* **Q** ‖ **461** *μούνους* **P** ‖ **463** *πῶς δὲ* **P**, **Zc** s.l. | *τότ'* Handley ‖ **465** *ὃν* Blaydes ‖ **467** *ἐμπεσὼν* **GQR** | *μόνος μόνωι* **C**^{ac}, et coni. Mekler *μόνοις μόνος* **P** ‖ **469** *εὐφράναιμί*] *-αίν-* **LC**^{ac}**N** *-οιμί* **CNPDXs**, v.l. in **H**^{c} ‖ **470** *οὐκ ἔστιν· ἀλλὰ πεῖρα* Reiske

αἰσχρὸν γὰρ ἄνδρα τοῦ μακροῦ χρῄζειν βίου,
κακοῖσιν ὅστις μηδὲν ἐξαλλάσσεται.
475 *[τί γὰρ παρ' ἦμαρ ἡμέρα τέρπειν ἔχει*
†προσθεῖσα κἀναθεῖσα τοῦ γε κατθανεῖν;†
οὐκ ἂν πριαίμην οὐδενὸς λόγου βροτὸν
ὅστις κεναῖσιν ἐλπίσιν θερμαίνεται·]
ἀλλ' ἢ καλῶς ζῆν ἢ καλῶς τεθνηκέναι
480 *τὸν εὐγενῆ χρή. πάντ' ἀκήκοας λόγον.*
ΧΟ. *οὐδεὶς ἐρεῖ ποθ' ὡς ὑπόβλητον λόγον,*
Αἴας, ἔλεξας, ἀλλὰ τῆς σαυτοῦ φρενός.
παῦσαί γε μέντοι, καὶ δὸς ἀνδράσιν φίλοις
γνώμης κρατῆσαι, τάσδε φροντίδας μεθείς.
485 *ΤΕ.* *ὦ δέσποτ' Αἴας, τῆς ἀναγκαίας τύχης*
οὐκ ἔστιν οὐδὲν μεῖζον ἀνθρώποις κακόν·
ἐγὼ δ' ἐλευθέρου μὲν ἐξέφυν πατρὸς
εἴπερ τινὸς σθένοντος ἐν πλούτωι Φρυγῶν,
νῦν δ' εἰμὶ δούλη· θεοῖς γὰρ ὧδ' ἔδοξέ που,
490 *καὶ σῆι μάλιστα χειρί. τοιγαροῦν, ἐπεὶ*
τὸ σὸν λέχος ξυνῆλθον, εὖ φρονῶ τὰ σά·
καί σ' ἀντιάζω πρός τ' ἐφεστίου Διὸς
εὐνῆς τε τῆς σῆς, ἧι συνηλλάχθης ἐμοί,

473 *ἄνδρα]* *ἐστι* Suda 2, 185, 5 || **475–478** del. Vogl || **475** *τέρπει μ', ἄχῃ* et *τοὐμὲ* in v. 476 Hertel || **476** *κἀνεθεῖσα* **A** s. l. *κἀνιεῖσα* A. C. Pearson *ἄνεσιν λαβοῦσα* D^{gl} | *τοῦ δὲ* L^{ac} *τό γε* F^{ac}**NZc** || **477** *ποιοίμην* Nauck, alii | *οὐδ' ἑνὸς λοβοῦ* Thoresen | *βροτῶν* Stobaei A^{ac} 5, 1104, 6, coni. Palmer || **478** *καλαῖσιν* Stobaeus 3, 308, 18 et (**SA**) 5, 1104, 7 || **481** *ὑπόβλητον* **LCPAD** Xs^{pc}**T** *ἀπόβλητον* rell. || **482** *Αἶαν* Suda 4, 667, 13 | *σαυτοῦ* $L^{pc}F^{pc}H^{pc}PAD^{pc}XrXsZrZc^{pc}T$ *αὑτοῦ* C^{2pc} *αὐτοῦ* $L^{ac}C^{ac}F^{ac}H^{ac}D^{ac}Zc^{ac}$ rell. || **485** *Αἴας* C^{c} *Αἶαν* Suda 1, 163, 16 (*Αἴας* $M^{γρ}$) || **486** *κακόν* L^{c} *ζυγόν* Gnom. || **488** *τινες* **AXsZr** | *ἐκ πλούτου* **G**

μή μ' ἀξιώσηις βάξιν ἀλγεινὴν λαβεῖν
495 τῶν σῶν ὑπ' ἐχθρῶν, χειρίαν ἐφεῖς τινι.
ἧι γὰρ θάνηις σὺ καὶ τελευτήσας ἀφῆις,
ταύτηι νόμιζε κἀμὲ τῆι τόθ' ἡμέραι
βίαι ξυναρπασθεῖσαν Ἀργείων ὕπο
ξὺν παιδὶ τῶι σῶι δουλίαν ἕξειν τροφήν.
500 καί τις πικρὸν πρόσφθεγμα δεσποτῶν ἐρεῖ
λόγοις ἰάπτων· ἴδετε τὴν ὁμευνέτιν
Αἴαντος, ὃς μέγιστον ἴσχυσε στρατοῦ,
οἵας λατρείας ἀνθ' ὅσου ζήλου τρέφει.
τοιαῦτ' ἐρεῖ τις, κἀμὲ μὲν δαίμων ἐλᾶι,
505 σοὶ δ' αἰσχρὰ τἄπη ταῦτα καὶ τῶι σῶι γένει.
ἀλλ' αἴδεσαι μὲν πατέρα τὸν σὸν ἐν λυγρῶι
γήραι προλείπων, αἴδεσαι δὲ μητέρα
πολλῶν ἐτῶν κληροῦχον, ἥ σε πολλάκις
θεοῖς ἀρᾶται ζῶντα πρὸς δόμους μολεῖν·
510 οἴκτιρε δ', ὦναξ, παῖδα τὸν σόν, εἰ νέας
τροφῆς στερηθεὶς σοῦ διοίσεται μόνος
ὑπ' ὀρφανιστῶν μὴ φίλων, ὅσον κακὸν
κείνωι τε κἀμοὶ τοῦθ', ὅταν θάνηις, νεμεῖς.
ἐμοὶ γὰρ οὐκέτ' ἔστιν εἰς ὅ τι βλέπω

495 *ἐφεῖς* **LCN**^{ac}**PVGT**, fort. **H**^{ac}**O**^{ac} *ἀφὶς* **R** *ἀφεὶς* **G**^{γρ}**N**^{pc} rell. ‖ **494** *λάξιν* Reiske ‖ **496** *ἧι* Bothe *ἣν* **ADXrXsZr** *εἰ* rell. | *τελευτήσας* **L**^{pc}**F** s. l., **NADXrXsZrZcT** *τελευτήσεις* **L**^{ac}**CHPV GQR**, **F** in lin.; de **O** incertum | *ἀφῆις* **LOAXrXsZrZc**^{c}**T** *ἀφὴς* **N**^{c} *ἀφεὶς* **CHVG**, fort. **P**^{ac}, **F** s. l. *ἀφ' ἧς* **PG**^{γρ}**QRD**, **F** in lin. ‖ **499** *δουλίαν* **C** in lin., **N**^{c}**ADXrXsT** *δούλιον* **LHOPVG QR**, **F** s. l. *δούλειον* **F** in lin., **Zc** *δουλίαν γ'* **Zr** *δουλείαν* **C** s. l. ‖ **501** *ψόγοις* Blaydes | *ἀτίζων* **L**^{sγρ} ‖ **502** *ἴσχυε* Blaydes: sed cf. *ἰσχύσας* Thucyd, 3, 104, 2 ‖ **503** *οἵαν λατρείαν* **FV**, et coni. Blaydes | *οἵου* Suda 2, 504, 19, sed verum 3, 237, 17 ‖ **507** *προ-λείπειν* Wolff

515 πλὴν σοῦ· σὺ γάρ μοι πατρίδ' ᾔστωσας δορί·
καὶ μητέρ' ἄλλη μοῖρα τὸν φύσαντά τε
καθεῖλεν Ἅιδου θανασίμους οἰκήτορας.
τίς δῆτ' ἐμοὶ γένοιτ' ἂν ἀντὶ σοῦ πατρίς;
τίς πλοῦτος; ἐν σοὶ πᾶσ' ἔγωγε σῴζομαι.
520 ἀλλ' ἴσχε κἀμοῦ μνῆστιν· ἀνδρί τοι χρεὼν
μνήμην προσεῖναι, τερπνὸν εἴ τί που πάθοι.
χάρις χάριν γάρ ἐστιν ἡ τίκτουσ' ἀεί,
ὅτου δ' ἀπορρεῖ μνῆστις εὖ πεπονθότος
οὐκ ἂν γένοιτ' ἔθ' οὗτος εὐγενὴς ἀνήρ.
525 *ΧΟ.* Αἴας, ἔχειν σ' ἂν οἶκτον ὡς κἀγὼ φρενὶ
θέλοιμ' ἄν· αἰνοίης γὰρ ἂν τὰ τῆσδ' ἔπη.
ΑΙ. καὶ κάρτ' ἐπαίνου τεύξεται, πρὸς γοῦν ἐμοῦ,
ἐὰν μόνον τὸ ταχθὲν εὖ τολμᾶι τελεῖν.
ΤΕ. ἀλλ', ὦ φίλ' Αἴας, πάντ' ἔγωγε πείσομαι.
530 *ΑΙ.* κόμιζέ νύν μοι παῖδα τὸν ἐμόν, ὡς ἴδω.
ΤΕ. καὶ μὴν φόβοισί γ' αὐτὸν ἐξελυσάμην.
ΑΙ. ἐν τοῖσδε τοῖς κακοῖσιν, ἢ τί μοι λέγεις;
ΤΕ. μή σοί γέ που δύστηνος ἀντήσας θάνοι.
ΑΙ. πρέπον γέ τἂν ἦν δαίμονος τοὐμοῦ τόδε.
535 *ΤΕ.* ἀλλ' οὖν ἐγὼ 'φύλαξα τοῦτό γ' ἀρκέσαι.

515 *μοι*] *μου* **GRT** et **Q** vel $\mathbf{Q}^{pc}$ || **516** *ἄλλη* **DZc** *ἀλλ' ἡ* rell.: utraque lectio vix tolerabilis: *αἰνὴ* Herwerden *ἀμὴν* Schneidewin, Meineke | *τε* **LCNOPVGZc** *με* rell. || **519** *πᾶσ'* **ADXrXs** *πᾶσιν* rell. || **521** *πάθηι* **LNVGQR**, in lin. **HZc** || **522** *φύουσ'* $\mathbf{L}^{s}$ s. l. | versum eiecit Dobree: om. Suda 3, 405, 7, habet 4, 789, 24 || **524** *γένοιτ' ἔθ'*] *γένοιθ'* $\mathbf{FPGR}^{ac}\mathbf{D}$ et Sudae cod. **B** *γένοιτό ποθ'* **AXrXsZrT** *λέγοιτ' ἔθ'* Tournier | *οὔπως γένοιτ' ἂν οὗτος* Suda 3, 405, 8 || **531** *φόβοισί γ'*] *-οισιν* $\mathbf{FO}^{ac}\mathbf{D}$ *φόβοισίν γ'* $\mathbf{O}^{pc}$ *φόβωι σοῦ γ'* Reiske *φόβωι σῶι γ'* Blaydes | *ἐξερρυσάμην* Hermann (*ῥύσασθαι θέλουσα ἐξήγαγον* Σ) || **532** *ἐν*] *ἦ 'ν* Blaydes || **534** *τ' ἐμοῦ* Blaydes (*ἦν καὶ τοῦτο τοῦ ἐμοῦ δαίμονος* Σ)

ΑΙ. ἐπήινεσ' ἔργον καὶ πρόνοιαν ἣν ἔθου.
ΤΕ. τί δῆτ' ἂν ὡς ἐκ τῶνδ' ἂν ὠφελοῖμί σε;
ΑΙ. δός μοι προσειπεῖν αὐτόν ἐμφανῆ τ' ἰδεῖν.
ΤΕ. καὶ μὴν πέλας γε προσπόλοις φυλάσσεται.
540 ΑΙ. τί δῆτα μέλλει μὴ οὐ παρουσίαν ἔχειν;
ΤΕ. ὦ παῖ, πατὴρ καλεῖ σε. δεῦρο προσπόλων
ἄγ' αὐτὸν ὅσπερ χερσὶν εὐθύνων κυρεῖς.
ΑΙ. ἕρποντι φωνεῖς, ἢ λελειμμένωι λόγου;
ΤΕ. καὶ δὴ κομίζει προσπόλων ὅδ' ἐγγύθεν.
545 ΑΙ. αἶρ' αὐτόν, αἶρε δεῦρο· ταρβήσει γὰρ οὔ,
νεοσφαγῆ μὴ οὐ τόνδε προσλεύσσειν φόνον,
εἴπερ δικαίως ἔστ' ἐμὸς τὰ πατρόθεν.
ἀλλ' αὐτίκ' ὠμοῖς αὐτὸν ἐν νόμοις πατρὸς
δεῖ πωλοδαμνεῖν κἀξομοιοῦσθαι φύσιν.
550 ὦ παῖ, γένοιο πατρὸς εὐτυχέστερος,
τὰ δ' ἄλλ' ὅμοιος· καὶ γένοι' ἂν οὐ κακός.
καίτοι σε καὶ νῦν τοῦτό γε ζηλοῦν ἔχω,
ὁθούνεκ' οὐδὲν τῶνδ' ἐπαισθάνηι κακῶν·
ἐν τῶι φρονεῖν γὰρ μηδὲν ἥδιστος βίος,
555 ἕως τὸ χαίρειν καὶ τὸ λυπεῖσθαι μάθηις.

538 *ἐμφανῶς* **Xs** ‖ **539** *κομίζεται* **P** ‖ **540** *μὴ οὐ*] *κοὐ* **F** *μὴ* **OVGQRZc** ‖ **543** *λόγων* **L** ‖ **544** *ὅδ'*] *ὧδ'* **L** et C^{ac} vel C^{pc}, idem **HN** in lin. ‖ **546** *μὴ οὐ τόνδε* Dawe *που τόνδε* **A** *ποῦ τόνδε* **Zc** *τοῦ τόνδε* **L** *τοῦτον δὲ* **FNV** *τοῦτον* **D** *τοῦτόν γε* rell. | *προσλεύσσειν* Dawe *-ων* codd. | *οὐκ εὐλαβηθήσεται τὸν φόνον τῶν ποιμνίων* **Σ** ‖ **547** cf. frg. 1119 ‖ **554 b** *τὸ μὴ φρονεῖν γὰρ κάρτ' ἀνώδυνον κακὸν* post 554 exhibent codd., Suda 2, 505, 13; 3, 36, 26 atque alia testimonia: caret Stobaeus 4, 618, 12 et eiecit Valckenaer | *ἀνώδυνον κακῶν* coni. Musgrave | cave ne cum *ἥδιστος βίος* concludatur sententia prior, et 554 b genuinum versum extruserit ‖ **555** *μάθηι* ed. Glasg.

ὅταν δ' ἵκηι πρὸς τοῦτο, δεῖ σ' ὅπως πατρὸς
δείξεις ἐν ἐχθροῖς οἷος ἐξ οἵου 'τράφης.
τέως δὲ κούφοις πνεύμασιν βόσκου, νέαν
ψυχὴν ἀτάλλων, μητρὶ τῆιδε χαρμονήν.
560 οὔτοι σ' Ἀχαιῶν, οἶδα, μή τις ὑβρίσηι
στυγναῖσι λώβαις, οὐδὲ χωρὶς ὄντ' ἐμοῦ·
τοῖον πυλωρὸν φύλακα Τεῦκρον ἀμφί σοι
λείψω τροφῆς ἄοκνον ἔμπα κεἰ τανῦν
τηλωπὸς οἰχνεῖ, δυσμενῶν θήραν ἔχων.
565 ἀλλ' ἄνδρες ἀσπιστῆρες, ἐνάλιος λεώς,
ὑμῖν τε κοινὴν τήνδ' ἐπισκήπτω χάριν,
κείνωι τ' ἐμὴν ἀγγείλατ' ἐντολήν, ὅπως
τὸν παῖδα τόνδε πρὸς δόμους ἐμοὺς ἄγων
Τελαμῶνι δείξει μητρί τ', Ἐριβοίαι λέγω,
570 ὥς σφιν γένηται γηροβοσκὸς εἰσαεί,
ἔστ' ἂν μυχοὺς κίχωσι τοῦ κάτω θεοῦ.
καὶ τἀμὰ τεύχη μήτ' ἀγωνάρχαι τινὲς
θήσουσ' Ἀχαιοῖς μήθ' ὁ λυμεὼν νεμεῖ,
ἀλλ' αὐτό μοι σύ, παῖ, λαβὼν ἐπώνυμον,
575 Εὐρύσακες, ἴσχε διὰ πολυρράφου στρέφων

557 *δείξεις* **L^{pc}ADXrXs^{c}ZrZc^{ac}T**, voluit **N^{2pc}** *δείξης* **L^{ac} N^{ac}Zc^{2pc}** rell. ‖ **563** *τροφῇ τ'* Nauck ‖ **564** *τηλουργὸς* **$L^{s\gamma\rho}$** *τηλουρὸς* **$O^{s\gamma\rho}$H^{gl}** | *φρουρὰν* **$L^{s\gamma\rho}$C$^{\gamma\rho}$**, gl. in nonnullis *θήρην* **Xs^{c}** *δυσμενεῖς θηρῶν* i. m. **Xs^{s}** ‖ **565** *ἐνάλιος* **AXrZr** *ἐνάλλιος* **Xs** *εἰνάλιος* rell. ‖ **566** *κοινῇ* **ZrT** ‖ **569** *δείξει* **ADXrXsZr** *δείξηι* rell. ‖ **570** *ὥς σφιν*] *ὅπως* Suda 1, 523, 24, verum 3, 431, 15 ‖ **571** *ἔστ' ἂν* Hermann *μέχρις ἂν* **T** et Suda 1, 523, 24, et sine *ἂν* 3, 431, 16 *μέχρι* **Zr** *μέχρας οὗ* **Q^{ac}** *μέχρις οὗ* **Q^{pc}** rell. ‖ **573** *νεμεῖ* Stadtmüller *ἐμὸς* codd. | post hunc versum lacunam indicavit Bergk ‖ **574** *τοὐπώνυμον* Ed. Fraenkel

πόρπακος ἑπτάβοιον ἄρρηκτον σάκος·
τὰ δ' ἄλλα τεύχη κοίν' ἐμοὶ τεθάψεται.
ἀλλ' ὡς τάχος τὸν παῖδα τόνδ' ἤδη δέχου,
καὶ δῶμα πάκτου, μηδ' ἐπισκήνους γόους
580 *δάκρυε· κάρτα τοι φιλοίκτιστον γυνή.*
πύκαζε θᾶσσον· οὐ πρὸς ἰατροῦ σοφοῦ
θρηνεῖν ἐπῳδὰς πρὸς τομῶντι τραύματι.
ΧΟ. *δέδοικ' ἀκούων τήνδε τὴν προθυμίαν·*
οὐ γάρ μ' ἀρέσκει γλῶσσά σου τεθηγμένη.
585 *ΤΕ.* *ὦ δέσποτ' Αἴας, τί ποτε δρασείεις φρενί;*
ΑΙ. *μὴ κρῖνε, μὴ 'ξέταζε· σωφρονεῖν καλόν.*
ΤΕ. *οἴμ' ὡς ἀθυμῶ· πρός σε καὶ τοῦ σοῦ τέκνου*
καὶ θεῶν ἱκνοῦμαι, μὴ προδοὺς ἡμᾶς γένηι.
ΑΙ. *ἄγαν με λυπεῖς· οὐ κάτοισθ' ἐγὼ θεοῖς*
590 *ὡς οὐδὲν ἀρκεῖν εἴμ' ὀφειλέτης ἔτι;*
ΤΕ. *εὔφημα φώνει.*
ΑΙ. *τοῖς ἀκούουσιν λέγε.*
ΤΕ. *σὺ δ' οὐχὶ πείσηι;*
ΑΙ. *πόλλ' ἄγαν ἤδη θροεῖς.*
ΤΕ. *ταρβῶ γάρ, ὦναξ.*
ΑΙ. *οὐ ξυνέρξεθ' ὡς τάχος;*

577 *συνθάψεται* **C**^{c} | *τῶιδε συντεθάψεται* Blaydes ‖ **579** *δῶμα πάκτου* Eustathius tribus locis, fort. **C**^{ac} *δῶμ' ἀπάγου* **C**^{γρ}**P** *δῶμ' ἀπάκτου* rell. (*ἢ πακτου* **H**^{gl}) et Suda 1, 260, 15 ‖ **582** *θροεῖν* **CF**^{sγρ}**HA**^{γρ}**DXrXsZrT** (verum **D**^{γρ}), Sudae **T** 2, 399, 1, **G** 4, 269, 19 | *τραύματι* **L**^{sγρ}**XsO**^{gl}**Zc**^{2gl}, **Σ**, Sudae **T** 2, 399, 2, cf. 2, 728, 2–3: cf. Cramer Anecd. Paris. IV 403: *πήματι* rell. ‖ **587** *πρός σε καὶ* Tournier *καί σε πρὸς* codd. ‖ **589** *με* ut vid. **H**^{c}, et coni. Elmsley (*τινα* **H**^{gl}) *ἐμε* **P**^{gl} *γε* rell. *σε* Diggle | *κατοῖσθά πω* Blaydes ‖ **590** *εἴκειν* Zomarides

ΤΕ. *πρὸς θεων, μαλάσσου.*
ΑΙ. *μῶρά μοι δοκεῖς φρονεῖν,*
595 *εἰ τοὐμὸν ἦθος ἄρτι παιδεύειν νοεῖς.*

ΧΟ. *ὦ κλεινὰ Σαλαμίς, σὺ μέν* — *στρ. α*
που ναίεις ἁλίπληκτος εὐδαίμων,
πᾶσιν περίφαντος αἰεί·
600 *ἐγὼ δ᾽ ὁ τλάμων, παλαιὸς ἀφ᾽ οὗ χρόνος*
†Ἰδαῖα μίμνων λειμωνίαι ποίαι μή-
λων† ἀνήριθμος αἰὲν εὐνῶμαι
605 *χρόνωι τρυχόμενος, κακὰν ἐλπίδ᾽ ἔχων*
ἔτι μέ ποτ᾽ ἀνύσειν τὸν ἀπότρο-
πον ἀίδηλον Ἅιδαν.

καί μοι δυσθεράπευτος Αἴ- — *ἀντ. α*
610 *ας ξύνεστιν ἔφεδρος, ὤμοι μοι,*
θείαι μανίαι ξύναυλος,
ὃν ἐξεπέμψω πρὶν δή ποτε θουρίωι
615 *κρατοῦντ᾽ ἐν Ἄρει· νῦν δ᾽ αὖ φρενὸς οἰοβώ-*
τας φίλοις μέγα πένθος ηὕρηται.

594 *φρονεῖν*] *λέγειν* L$^{s\gamma\rho}$H$^{\gamma\rho}$ ‖ **597** *ἁλίπλαγκτος* **LC^{pc}FNOVAXr** *ἁλίπλακτος* rell.: vide Björck, Das Alpha Impurum, p. 237 ‖ **598** *πᾶσιν* et *αἰεί* **T** *πᾶσι* et *ἀεί* rell. ‖ **601** *μίμνων* **LC^{ac}G** *μίμνω* **G** s. l., rell. | *ποίαι* **LNPAXrXsZrZc** *πόα* **FHOVGQRDT** *πόα* in aut ex *ποία* corr. **C** | *Ἰδᾶιδι μίμνων χειμῶνι πόαι τε μηνῶν* Bergk *Ἰδᾶιδι μίμνων ποίαι λειμωνίδι μήλων* Wilamowitz ‖ **604** *εὐνῶμαι* Bergk *εὐνώμα* **T** *εὐνομία* **V** *εὐνόμα(ι)* rell. ‖ **605** *πόνωι* Martin ‖ **606** *ἔτι*] *ὅτι* **FP**, **L^{s}** s. l. *ὅτι δεῖ* **C^{c}** *ὅτι*, cum *δεῖ* post *ἀνύσειν*, **N** ‖ **607** *ἀΐδαλον* **N** ‖ **609** *καί μην* **R** ‖ **610** *ὤμοι μοι* **T** *ἰώ μοι μοι μοι* **LAXs** *ἰώ μοι μοι* rell. ‖ **613** *δή*] *εὖ* **T**, probat **ΣT** om. **Zr** ‖ **614** *νικῶντ᾽ εἰν* **T** et **ΣT** ‖ **615** *φρενός γ᾽* **T** et **ΣT** | *οἰοβώτας* **L^{pc}CO**, Suda 4, 625, 12 *ὀοβώτας* **L^{ac}** *οἰωβότας* **T** et **ΣT** *οἰοβάτας* **Zr** *οἰοβότας* rell. ‖ **617** *ηὕρηται*] *γεγένηται* L$^{s\gamma\rho}$H$^{\gamma\rho}$

τὰ πρὶν δ' ἔργα χεροῖν μεγίστας ἀρετᾶς
620 *ἄφιλα παρ' ἀφίλοις ἔπεσ' ἔπε-*
σε μελέοις Ἀτρείδαις.

ἦ που παλαιᾶι μὲν ἔντροφος ἀμέραι στρ. β
625 *λευκά τε γήραι μάτηρ νιν ὅταν νοσοῦν-*
τα φρενοβόρως ἀκούσηι,
αἴλινον αἴλινον
οὐδ' οἰκτρᾶς γόον ὄρνιθος ἀηδοῦς
ἥσει δύσμορος, ἀλλ'
630 *ὀξυτόνους μὲν ὠιδὰς*
θρηνήσει, χερόπληκτοι
δ' ἐν στέρνοισι πεσοῦνται
δοῦποι καὶ πολιᾶς ἄμυγμα χαίτας.

κρείσσων γὰρ Ἅιδαι κεύθων ὁ νοσῶν μάταν, ἀντ. β
635 *ὃς ἐκ πατρῴας ἥκων γενεᾶς ἄρι-*
στος πολυπόνων Ἀχαιῶν,

618 *ἔργματα* **V** | *χεροῖν* **T**, silente **ΣT** *χερσὶν* **LAXrXsZr** om. **V** *χερσὶ* rell. ‖ **619** *μεγίστας* **T**, silente **ΣT** *μέγιστ'* rell. ‖ **620** *παρὰ φίλοις* **LC**^{ac}**PQRD** ‖ **625** *λευκά* Schneidewin *λευκῶι* codd. | *τε* Suda 2, 296, 30 *δὲ* codd. ‖ **626** *φρενοβόρως* Dindorf *φρενομόρως* **LOPVZrT** *φρενομώρως* fere rell. *φρέν' ἀμόρως* Meineke ‖ **628** ⟨*οὐκ*⟩*αἴλινον οὐδ' οἰκτρᾶς γόον ὄρνιθος* intelligit **Σ** ‖ **629** *ἄσει* **FQR**, **Zc** in lin., **G** s. l., **Xs** i. m., **N**^{gl}, Suda 1, 63, 25 ‖ **630** *αὐδὰς* **O** ‖ **632** *στέρνοισι* **CT** *-οις* rell. ‖ **634** *ἀμύγματα* codd. et Eustathius 567, 31 et 651, 47: corr. Bothe ‖ **635** *κρέσσων* **L**^{ac}**NPADXrXs** *κρεῖσσον* **OZc** | *παρ' Ἅιδαι* Elmsley | *ὁ* Lobeck *ἢ* codd. ‖ **636** *ἄριστος* ex antiquo libro **T**, et in **Zc** add. scriba Aiantis 1–226 om. rell., sed *λείπει τὸ ἄριστος* vel sim. gl. in **LCFHNOG** *ἄριστα* codex Livineius deperditus et novit **Σ** cf. *ἐλθὼν ἀνηρ κάλλιστος ἐς τὸ στρατόπεδον* Hdt. 9, 72

οὐκέτι συντρόφοις
640 *ὀργαῖς ἔμπεδος, ἀλλ' ἐκτὸς ὁμιλεῖ.*
ὦ τλᾶμον πάτερ, οἵ-
αν σε μένει πυθέσθαι
παιδὸς δύσφορον ἄταν,
ἂν οὔπω τις ἔθρεψεν
645 *αἰὼν Αἰακιδᾶν ἄτερθε τοῦδε.*

ΑΙ. *ἅπανθ' ὁ μακρὸς κἀναρίθμητος χρόνος*
φύει τ' ἄδηλα καὶ φανέντα κρύπτεται·
κοὐκ ἔστ' ἄελπτον οὐδέν, ἀλλ' ἁλίσκεται
χὡ δεινὸς ὅρκος χαἰ περισκελεῖς φρένες.
650 *κἀγὼ γάρ, ὃς τὰ δείν' ἐκαρτέρουν τότε,*
βαφῆι σίδηρος ὣς ἐθηλύνθην στόμα
πρὸς τῆσδε τῆς γυναικός· οἰκτίρω δέ νιν
χήραν παρ' ἐχθροῖς παῖδά τ' ὀρφανὸν λιπεῖν.
ἀλλ' εἶμι πρός τε λουτρὰ καὶ παρακτίους
655 *λειμῶνας, ὡς ἂν λύμαθ' ἁγνίσας ἐμὰ*
μῆνιν βαρεῖαν ἐξιλεύσωμαι θεᾶς·
μολών τε χῶρον ἔνθ' ἂν ἀστιβῆ κίχω

641 *τλάμων* **LQ**^{pc}**AXsZr**, lemma **ΣO**, s. l. **HGR** ‖ **645** *ἄτερ* **P** *ἄτερθέ γε* **T**, silente **ΣT**, sed cf. 634 ‖ **647** *ποιεῖ* Stobaeus 1, 97, 15 | *κρύπτεται*] *ἔπη λύει* Sudae **S** in lin. 1, 184, 10 *ἐπιλύει* **M**, verum **M**^{γρ} ‖ **648** *οὐκ* **Xs**^{ac}, Stobaeus, Suda 1, 57, 5, recte 4, 108, 4 | *ἀλλάσσεται* Nauck ‖ **649** *χαἰ* Musgrave *καὶ* codd. ‖ **650** sq. de interpunctione vide Class. Philol. 83 (1988) 103 sq. ‖ **650** *ἐκαρτέρουν τότε*] *ἐπηπείλησ' ἔπη* **L**^{sγρ}: cf. 312 *ἐκαρτέρουν τότε ἄν* **Xs** ‖ **651** *ἐθηλύνθη* **NO**^{ac}**DXs**^{ac}**Zc**^{ac}, Gnom. ‖ **656** *ἐξιλεύσωμαι* **H**^{pc}: de forma quidem licet dubitare, sed 'propitiare' hic exquisitius quam 'arcere' aut 'evitare' *ἐξελεύσωμαι* **H**^{ac}, Sudae (**F**)**V** 2, 495, 21, **GI** 2, 530, 13 et hoc aut *-ωμεν* **N**^{ac} *ἐξελεύσομαι* **Xs**, Sudae **F** 2, 530, 13 *ἐξαλύξωμαι* Hesychius II, 117 Latte *ἐξαλέξομαι* **O**^{ac} *ἐξαλεύσωμαι* rell. ‖ **657** *χώραν* **L**^{ac}

κρύψω τόδ' ἔγχος τοὐμόν, ἔχθιστον βελῶν,
γαίας ὀρύξας ἔνθα μή τις ὄψεται·
660 *ἀλλ' αὐτὸ νὺξ Ἅιδης τε σωιζόντων κάτω.*
ἐγὼ γάρ, ἐξ οὗ χειρὶ τοῦτ' ἐδεξάμην
παρ' Ἕκτορος δώρημα δυσμενεστάτου,
οὔπω τι κεδνὸν ἔσχον Ἀργείων πάρα·
ἀλλ' ἔστ' ἀληθὴς ἡ βροτῶν παροιμία,
665 *ἐχθρῶν ἄδωρα δῶρα κοὐκ ὀνήσιμα.*
τοιγὰρ τὸ λοιπὸν εἰσόμεσθα μὲν θεοῖς
εἴκειν, μαθησόμεσθα δ' Ἀτρείδας σέβειν·
ἄρχοντές εἰσιν, ὥσθ' ὑπεικτέον, τί μήν;
καὶ γὰρ τὰ δεινὰ καὶ τὰ καρτερώτατα
670 *τιμαῖς ὑπείκει· τοῦτο μὲν νιφοστιβεῖς*
χειμῶνες ἐκχωροῦσιν εὐκάρπωι θέρει·
ἐξίσταται δὲ νυκτὸς αἰανὴς κύκλος
τῆι λευκοπώλωι φέγγος ἡμέραι φλέγειν·
δεινῶν τ' ἄημα πνευμάτων ἐκοίμισε
675 *στένοντα πόντον· ἐν δ' ὁ παγκρατὴς ὕπνος*
λύει πεδήσας οὐδ' ἀεὶ λαβὼν ἔχει·
ἡμεῖς δὲ πῶς οὐ γνωσόμεσθα σωφρονεῖν;
†ἐγὼ δ'† ἐπίσταμαι γὰρ ἀρτίως ὅτι
ὅ τ' ἐχθρὸς ἡμῖν ἐς τοσόνδ' ἐχθαρτέος,
680 *ὡς καὶ φιλήσων αὖθις, ἔς τε τὸν φίλον*

659 *γαίαν* **OV** | *γαίαι 'νορύξας* Morstadt ‖ **661** *κἀγὼ* Suda 3, 87, 15 (cf. v. 650) ‖ **662** *δυσμενεστάτου … βροτῶν* Sudae **AM**, recte **FV**: cf. El. 407 ‖ **668** *τί μήν* Linwood *τί μή* seu *τιμῇ* codd. ‖ **669** *δεινὰ*] *θεῖα* ex Σ Wilamowitz ‖ **672** *αἰανὴς* **L** *-ῆς* rell. ‖ **674** *δεινόν* **LRZc**, **O** in lin., Suda 1, 64, 15 *λῆγον* F. W. Schmidt: cf. Bacchyl. 13, 128–129 | *δ'* Hermann ‖ **676** *λαχὼν* Suda 1, 64, 17 ‖ **678** *ἐγὼ δ'* eiecit et ⟨*μαθὼν*⟩ *ὅτι* coni. Dindorf *ἔγωγ'·* Madvig, praeeunte Heath ‖ **679** *ἡμῖν* rec. *ἧμην* **O** *ἥμην* rell. | *ἐχθαρτέος* **LCP** *ἐχθραντέος* rell.

τοσαῦθ' ὑπουργῶν ὠφελεῖν βουλήσομαι,
ὡς αἰὲν οὐ μενοῦντα· τοῖς πολλοῖσι γὰρ
βροτῶν ἄπιστός ἐσθ' ἑταιρείας λιμήν.
  ἀλλ' ἀμφὶ μὲν τούτοισιν εὖ σχήσει. σὺ δὲ
685 ἔσω θεοῖς ἐλθοῦσα διὰ τέλους, γύναι,
εὔχου τελεῖσθαι τοὐμὸν ὧν ἐρᾶι κέαρ.
ὑμεῖς θ' ἑταῖροι, ταὐτὰ τῆιδέ μοι τάδε
τιμᾶτε, Τεύκρωι τ', ἢν μόληι, σημήνατε
μέλειν μὲν ἡμῶν, εὖ νοεῖν δ' ὑμῶν ὕπερ·
690 ἐγὼ γὰρ εἶμ' ἐκεῖσ' ὅποι πορευτέον·
ὑμεῖς δ' ἃ φράζω δρᾶτε, καὶ τάχ' ἄν μ' ἴσως
πύθοισθε, κεἰ νῦν δυστυχῶ, σεσωμένον.

ΧΟ. ἔφριξ' ἔρωτι, περιχαρὴς δ' ἀνεπτάμαν. στρ.
ἰὼ ἰώ, Πὰν Πάν,
695 ὦ Πάν, Πὰν ἁλίπλαγκτε, Κυλ-
  λανίας χιονοκτύπου
πετραίας ἀπὸ δειράδος φάνηθ', ὦ
  θεῶν χοροποί' ἄναξ, ὅπως

681 τοιαῦθ' Suda 2, 495, 1 ‖ **685** εἴσω **ADXrXsZr** | τάχους **H**^{γρ}, s. l. **LFHNPG** τέλος **Q** ‖ **686** ὡς **H**^{ac}**P**^{ac}**Xs** ‖ **687** θ'] δ' **F** et fort. **C**^{ac} ‖ **689** εὖ νοεῖν **C** εὐνοεῖν rell. | ὑμῶν ὕπερ Dawe ὑμῖν ἅμα **CHOVADXrXsZrT** ὑμῶν ἅμα **LFNPGQRZc** ὑπέρμεγα **L**^{sγρ}**H**^{γρ} γρ. ⟨ὑμῶν⟩ μέτα cod. Laur. 31, 10 (= **K**) et coni. Naber ‖ **690** ὅπη **C** ὅπου **H** s. l. ὅπου δὴ **F** ‖ **691** δ'] θ' **P** ‖ **692** σεσωσμένον codd.: corr. Wecklein ‖ **693** ἔφριξ' bis **P** ἔφριξ' ἐν **T** | ἀνεπτάμαν **LAXr** -άμην **VDXsZrT** -όμην **FHNZc** Suda 2, 491, 14, Eustath. sexies -όμαν rell. ‖ **694** ἰὼ semel **CHNRXsZr**, ter **O** ‖ **695** ὦ Πάν, Πὰν] ὦ Πὰν **QXsZr** | ἁλίπλακτε **HGRDXrZrZcT** ‖ **696** χιονοκτύπου **CF**^{pc}**PVG**^{c}**RZrZcT** χιονοτύπου **F**^{ac}**H**^{ac}**NOADXr**^{c}**Xs** χιονοτύπτου **L**, **H**^{pc} in lin. χιονοκτύπτου **H**^{pc} s. l. χιον' ὀκτύπου **Q** ‖ **698** χοροποί' **T** χαροποιὲ **OVA**^{pc} χοροποιὲ rell

μοι Μύσια Κνώσι' ὀρ-
700 χήματ' αὐτοδαῆ ξυνὼν ἰάψῃς.
νῦν γὰρ ἐμοὶ μέλει χορεῦσαι.
Ἰκαρίων δ' ὑπὲρ πελαγέων
μολὼν ἄναξ Ἀπόλλων
ὁ Δάλιος εὔγνωστος
705 ἐμοὶ ξυνείη διὰ παντὸς εὔφρων.

ἔλυσεν αἰνὸν ἄχος ἀπ' ὀμμάτων Ἄρης.
ἰὼ ἰώ, νῦν αὖ
νῦν, ὦ Ζεῦ, πάρα λευκὸν εὐ-
ἄμερον πελάσαι φάος
710 θοᾶν ὠκυάλων νεῶν, ὅτ' Αἴας
λαθίπονος πάλιν, θεῶν
δ' αὖ πάνθυτα θέσμι' ἐξ-
ήνυσ', εὐνομίαι σέβων μεγίσται.
πάνθ' ὁ μέγας χρόνος μαραίνει,
715 κοὐδὲν ἀναύδητον φατίσαιμ'
ἄν, εὖτέ γ' ἐξ ἀέλπτων

699 *Μύσια* pap. Oxy. 1615 cf. Suda 3, 489, 27 sqq. *νύσσια* **FHPXrZrT** *νύσια* rell. | *Κνώσι'* **F** *κνώσια* **LNVGQDZcT** *κνώσσια* **CHPRXsZr** *κνώσσι'* **AXr** *κνόσια* **O** || **702** *τεναγεών* Dawe: cf. Renehan, Class. Philol. 87 (1992) 349 || **705** *ξυνείης* **O**P^{pc}**ADXrXsZr**, fort. **F**N^{ac} || **706** *ἔλυσεν* L^{ac} *ἔλυσεν γὰρ* L^{spc}**A** *ἔλυσε γὰρ* rell. *ἔλυσε δ'* Elmsley *λῦσεν γὰρ* Turyn || **708** *πάρα λευκὸν*] *πάλλευκον* **Zc**: verum novit et reiecit **ΣZc** || **712** *ἐξήνυσ'* rec. *ἐξήνυσεν* codd. nostri || **714** *ἅπανθ'* **N** *ἅπαντ'* **O** | *μακρὸς* **D**: cf. 646 | *μαραίνει τε καὶ φλέγει* codd.: apud Stobaeum 1, 97, 18 legimus *πάνθ' ὁ χρόνος ὁ μέγας μαραίνει*, sine *τε καὶ φλέγει* || **715** *φατίσαιμ'* Lievens *φατίζαιμ'* $L^{ac}F^{ac}$ *φατίξαιμ'* fere rell.: hoc et *ἄν* eiecit **T** || **716** *εὖτ' ἐξ* **GOR** *εὖτ' ἄν γ' ἐξ* **H** *εὖτε τ' ἐξ* **A**

Αἴας μετανεγνώσθη
θυμοῦ τ' Ἀτρείδαις μεγάλων τε νεικέων.

ΑΓΓΕΛΟΣ

ἄνδρες φίλοι, τὸ πρῶτον ἀγγεῖλαι θέλω,
720 *Τεῦκρος πάρεστιν ἄρτι Μυσίων ἀπὸ*
κρημνῶν, μέσον δὲ προσμολὼν στρατήγιον
κυδάζεται τοῖς πᾶσιν Ἀργείοις ὁμοῦ.
στείχοντα γὰρ πρόσωθεν αὐτὸν ἐκ κύκλωι
μαθόντες ἀμφέστησαν, εἶτ' ὀνείδεσιν
725 *ἤρασσον ἔνθεν κἄνθεν οὔτις ἔσθ' ὃς οὔ,*
τὸν τοῦ μανέντος κἀπιβουλευτοῦ στρατῶι
ξύναιμον ἀποκαλοῦντες, ὥς τ' οὐκ ἀρκέσοι
τὸ μὴ οὐ πέτροισι πᾶς καταξανθεὶς θανεῖν,
ἔστ' εἰς τοσοῦτον ἦλθον ὥστε καὶ χεροῖν
730 *κολεῶν ἐρυστὰ διεπεραιώθη ξίφη.*
λήγει δ' ἔρις δραμοῦσα τοῦ προσωτάτω
ἀνδρῶν γερόντων ἐν ξυναλλαγῆι λόγου.
ἀλλ' ἡμὶν Αἴας ποῦ 'στιν, ὧι φράσω τάδε;
τοῖς κυρίοις γὰρ πάντα χρὴ δηλοῦν λόγον.

717 *μετεγνώσθη* **HPADXrXsZr** *μεταγνώσθη* **Q** || 718 *θυμοῦ τ'* Hermann *θυμόν τ'* **A** *θυμῶν* **N** s. l. **G**^{γρ}**T**, fort. **F**^{ac} vel **F**^{pc} *θυμὸν* rell. || 722 *σκυδάζειν Σοφοκλῆς φησιν ἐν τῶι Αἴαντι* Σ Townel. Ω 592 || 723 *ἐνὶ* **Q** || 725 *οὔτις* **LHOGXrXs** *καὶ οὔτις* **D** * *οὔτις* **A** *κοὔτις* rell., ante quod interpungunt codd. nonnulli || 726 *στρατοῦ* codd.: corr. Schaefer || 727 *σύναιμον* **ADXr XsZr** | *ὥς τ'* **FZc**, coni. Musgrave *ὡς* rell. | *ἀρκέσει* **F** in lin., **HVT** || 728 *μὴ οὐ*] *μὴ* **C**^{c}**HA** | *πέτρηισι* **CFHN**^{pc}**Q**, **Zc** s. l. *πέτραισι* **O** || 729 *ἔστ'* Thiersch *ὥστ'* codd. || 730 *κολεῶν* **LCNPV AZrZcT** *κουλεῶν* rell. || 731 *προσωτάτω* **LCN**^{c}**PVR**, **G** s. l. -*τάτου* **G** in lin., rell. || 733 *ὧι* Dawe *ὡς* codd.

735 *ΧΟ.* οὐκ ἔνδον, ἀλλὰ φροῦδος ἀρτίως, νέας
βουλὰς νέοισιν ἐγκαταζεύξας τρόποις.
ΑΓ. ἰοὺ ἰού.
βραδεῖαν ἡμᾶς ἆρ' ὁ τήνδε τὴν ὁδὸν
πέμπων ἔπεμψεν, ἢ 'φάνην ἐγὼ βραδύς.
740 *ΧΟ.* τί δ' ἐστὶ χρείας τῆσδ' ὑπεσπανισμένον;
ΑΓ. τὸν ἄνδρ' ἀπηύδα Τεῦκρος ἔνδοθεν στέγης
μὴ 'ξω παρείκειν, πρὶν παρὼν αὐτὸς τύχηι.
ΧΟ. ἀλλ' οἴχεταί τοι πρὸς τὸ κέρδιον τραπεὶς
γνώμης, θεοῖσιν ὡς καταλλαχθῆι χόλου.
745 *ΑΓ.* ταῦτ' ἐστὶ τἄπη μωρίας πολλῆς πλέα,
εἴπερ τι Κάλχας εὖ φρονῶν μαντεύεται.
ΧΟ. ποῖον; τί δ' εἰδὼς τοῦδε πράγματος πέρι;
ΑΓ. τοσοῦτον οἶδα (καὶ παρὼν ἐτύγχανον)·
ἐκ γὰρ συνέδρου καὶ τυραννικοῦ κύκλου
750 Κάλχας μεταστὰς οἶος Ἀτρειδῶν δίχα,
εἰς χεῖρα Τεύκρου δεξιὰν φιλοφρόνως
θεὶς εἶπε κἀπέσκηψε παντοίαι τέχνηι
εἶρξαι κατ' ἦμαρ τοὐμφανὲς τὸ νῦν τόδε
Αἴανθ' ὑπὸ σκηναῖσι μηδ' ἀφέντ' ἐᾶν,
755 εἰ ζῶντ' ἐκεῖνον εἰσιδεῖν θέλοι ποτέ.
ἐλᾶι γὰρ αὐτὸν τήνδ' ἔθ' ἡμέραν μόνην
δίας Ἀθάνας μῆνις, ὡς ἔφη λέγων.

737 *ἰοὺ ἰού* **QT** *ἰοὺ* quater **N** ter rell. ‖ **738** *ἀχρεῖον* F. W. Schmidt ‖ **741** *ἔνδοθι* **NP** ‖ **742** *παρείκειν* **H**, coni. Reiske *παρήκειν* rell.: cf. 753–754, 795–796 | *τύχοι* **HGR**, **Zc** s.l. ‖ **743** *πρός τι* **A** | *κέρδιον* **F**ac**P** *κέρδιστον* **F**pc rell. ‖ **745** *πλέω* **F**pc**V** ‖ **747** *τί δεδιὼς … πάρει* Reiske | sententiam interruptam esse censuit Eitrem; fortasse lacuna indicanda est ‖ **748** *παρών γ'* Broadhead ‖ **753** *εἷρξαι* **CHVD** *εἶρξαι* rell. ‖ **755** *θέλει* **FND** ‖ **756** *ημέραν μονην* legitur in pap. Oxy. 1615 *τῆιδε θ' ἡμέραι μόνηι* codd. *τῆιδ' ἔθ' ἡμέραι μόνηι* Bothe: cf. 778 ‖ **757** *ὡς* **CGQRDZr** (*οὕτως* **C**gl**D**gl) *ὧς* rell.

τὰ γὰρ περισσὰ κἀνόνητα σώματα
πίπτειν βαρείαις πρὸς θεῶν δυσπραξίαις
760 ἔφασχ' ὁ μάντις, ὅστις ἀνθρώπου φύσιν
βλαστὼν ἔπειτα μὴ κατ' ἄνθρωπον φρονῆι.
κεῖνος δ' ἀπ' οἴκων εὐθὺς ἐξορμώμενος
ἄνους καλῶς λέγοντος ηὑρέθη πατρός.
ὁ μὲν γὰρ αὐτὸν ἐννέπει· τέκνον, δορὶ
765 βούλου κρατεῖν μέν, σὺν θεῶι δ' ἀεὶ κρατεῖν.
ὁ δ' ὑψικόμπως κἀφρόνως ἠμείψατο·
πάτερ, θεοῖς μὲν κἂν ὁ μηδὲν ὢν ὁμοῦ
κράτος κατακτήσαιτ'· ἐγὼ δὲ καὶ δίχα
κείνων πέποιθα τοῦτ' ἐπισπάσειν κλέος.
770 τοσόνδ' ἐκόμπει μῦθον. εἶτα δεύτερον
Αἴας Ἀθάναν, ἡνίκ' ὀτρύνουσά νιν
ηὐδᾶτ' ἐπ' ἐχθροῖς χεῖρα φοινίαν τρέπειν,
τόδ' ἀντιφωνεῖ δεινὸν ἄρρητόν τ' ἔπος·
ἄνασσα, τοῖς ἄλλοισιν Ἀργείων πέλας
775 ἵστω, καθ' ἡμᾶς δ' οὔποτε ῥήξει μάχη.
τοιοῖσδέ τοι λόγοισιν ἀστεργῆ θεᾶς
ἐκτήσατ' ὀργήν, οὐ κατ' ἄνθρωπον φρονῶν.
ἀλλ' εἴπερ ἔστι τῆιδ' ἔθ' ἡμέραι, τάχ' ἂν
γενοίμεθ' αὐτοῦ σὺν θεῶι σωτήριοι.

758 *κἀνόητα* Zc^{ac} || **759** fort. *βαρειαι ... δυσπραξιαι* pap. Oxy. 1615 ante corr. | *δυσπραγίαις* Stobaeus 3, 588, 16 || **760** *ὅστις*] *εἴ τις* **H** | *φύσει* Stobaeus 1, 56, 2 || **761** *βλαστὼν*] *γεγὼς* Eustathius 415, 13 | *φρονῆι* **LP**, pap. Oxy. 1615, fort. $\mathbf{N}^{ac}\mathbf{D}^{ac}$ *φρονεῖ* $\mathbf{N}^{pc}\mathbf{D}^{pc}$ rell. || **762** *κἀκεῖνος* **F** || **768** *καταστήσαιτ'* **L** || **771** *Αἴας Ἀθάναν* anon.: *δίας Ἀθάνας* codd., cf. 757 || **773** *τόδ'* **H**, coni. Musgrave *ὅδ'* **GQR** *τότ'* rell. | *ἀντεφώνει* $\mathbf{C}^{pc}$**FNV** || **775** *δ'* del. Kuiper | *οὔποτ' ἐκρήξει* codd.: corr. Blaydes *οὔποτ' ἐνρήξει* Lloyd-Jones et Wilson *οὔποτ' ἐκλήξει* Krüger || **776** *τοι* Hermann *τοῖς* codd. || **778** *τῆιδ' ἔθ'* Lobeck *τῆιδ' ἐν* $\mathbf{L}^{ac}$**CHOPV** *τῆιδε θ'* $\mathbf{L}^{pc}$ rell. || **779** *αὐτῶι* **FGQ** | *θεοῖς* $\mathbf{CHT}^{gl}$

780 τοσαῦθ' ὁ μάντις εἶφ'· ὁ δ' εὐθὺς ἐξ ἕδρας
πέμπει με σοὶ φέροντα τάσδ' ἐπιστολὰς
Τεῦκρος φυλάσσειν. εἰ δ' ἀφυστερήμεθα,
οὐκ ἔστιν ἁνὴρ κεῖνος, εἰ Κάλχας σοφός.
ΧΟ. ὦ δαΐα Τέκμησσα, δύσμορον γένος,
785 ὅρα μολοῦσα τόνδ' ὁποῖ' ἔπη θροεῖ·
ξυρεῖ γὰρ ἐν χρῶι τοῦτο, μὴ χαίρειν τινά.
ΤΕ. τί μ' αὖ τάλαιναν, ἀρτίως πεπαυμένην
κακῶν ἀτρύτων, ἐξ ἕδρας ἀνίστατε;
ΧΟ. τοῦδ' εἰσάκουε τἀνδρός, ὡς ἥκει φέρων
790 Αἴαντος ἡμῖν βάξιν ἣν ἤλγησ' ἐγώ.
ΤΕ. οἴμοι, τί φῄς, ἄνθρωπε; μῶν ὀλώλαμεν;
ΑΓ. οὐκ οἶδα τὴν σὴν πρᾶξιν, Αἴαντος δ' ὅτι,
θυραῖος εἴπερ ἐστίν, οὐ θαρσῶ πέρι.
ΤΕ. καὶ μὴν θυραῖος, ὥστε μ' ὠδίνειν τί φῄς.
795 ΑΓ. ἐκεῖνον εἴργειν Τεῦκρος ἐξεφίεται
σκηνῆς ὕπαυλον μηδ' ἀφιέναι μόνον.
ΤΕ. ποῦ δ' ἐστὶ Τεῦκρος, κἀπὶ τῶι λέγει τάδε;
ΑΓ. πάρεστ' ἐκεῖνος ἄρτι· τήνδε δ' ἔξοδον
† ὀλεθρίαν Αἴαντος ἐλπίζει φέρειν. †
800 ΤΕ. οἴμοι τάλαινα, τοῦ ποτ' ἀνθρώπων μαθών;

780 *τοσαῦθ'* **ADXrXsZr** *τοιαῦθ'* rell. | *εἶφ'* **A**[ac]**XrXsZrT** *εἶπεν* **A**[pc] rell. ‖ **781–782** *πέμπει* et *Τεῦκρος* invicem traicere vult F. W. Schmidt: *Τεῦκρος* glossema esse suspicatur Blaydes ‖ **782** *ἀπεστερήμεθα* codd.: corr. Wakefield *ἆρ' ὑστερήσαμεν* Badham *ἆρ' ὑστερήμεθα* Schenkl ‖ **783** *ἔστιν*] *ἔστ' ἔθ'* Heimsoeth ‖ **784** *δυσμόρων* Pähler | *τέκος* Dawe ‖ **786** vide sub v. 812 ‖ **790** *βάξιν* Reiske *πρᾶξιν* codd. ‖ **791** *ὤμοι* **V** | *ὤνθρωπε* **ADXr XsZr** ‖ **794** *μὴν*] *νῦν* **LCPG**[γρ] | *θυραῖός γ'* Elmsley ‖ **795** *εἴργειν* **C** *διείργειν* **N** *εἴργειν* rell. ‖ **798** *πάρεστι κεῖνος* **FT** ‖ **799** *Αἴαντος*] *τιν' αἶσαν* Dawe | *ἐλπίζοι* **N**[sc] *ἐλπίζων* **Q** *ἐλπίζειν* **A** | *φέρειν*] *πέλειν* Blaydes *θροεῖ*, cum *ἐλπίζειν*, Kuiper

ΑΓ. τοῦ Θεστορείου μάντεως καθ' ἡμέραν
† τὴν νῦν ὅτ' † αὐτῶι θάνατον ἢ βίον φέρει.
ΤΕ. οἲ 'γώ, φίλοι, πρόστητ' ἀναγκαίας τύχης,
καὶ σπεύσαθ' οἱ μὲν Τεῦκρον ἐν τάχει μολεῖν,
805 οἱ δ' ἑσπέρους ἀγκῶνας, οἱ δ' ἀντηλίους
ζητεῖτ' ἰόντες τἀνδρὸς ἔξοδον κακήν.
[ἔγνωκα γὰρ δὴ φωτὸς ἠπατημένη
καὶ τῆς παλαιᾶς χάριτος ἐκβεβλημένη.
οἴμοι, τί δράσω, τέκνον; οὐχ ἱδρυτέον.
810 ἀλλ' εἶμι κἀγὼ κεῖσ' ὅποιπερ ἂν σθένω.]
χωρῶμεν, ἐγκονῶμεν· οὐχ ἕδρας ἀκμή.
[σώιζειν θέλοντες ἄνδρα γ' ὃς σπεύδηι θανεῖν.]
ΧΟ. χωρεῖν ἕτοιμος, κοὐ λόγωι δείξω μόνον·
τάχος γὰρ ἔργου καὶ ποδῶν ἅμ' ἕψεται.
815 ΑΙ. ὁ μὲν σφαγεὺς ἕστηκεν ἧι τομώτατος
γένοιτ' ἄν, εἴ τωι καὶ λογίζεσθαι σχολή,
δῶρον μὲν ἀνδρὸς Ἕκτορος ξένων ἐμοὶ
μάλιστα μισηθέντος, ἐχθίστου θ' ὁρᾶν·
πέπηγε δ' ἐν γῆι πολεμίαι τῆι Τρωιάδι,
820 σιδηροβρῶτι θηγάνηι νεηκονής·
ἔπηξα δ' αὐτὸν εὖ περιστείλας ἐγὼ
εὐνούστατον τῶιδ' ἀνδρὶ διὰ τάχους θανεῖν.

802 *τήνδ' ἥπερ* Kousis *τήνδ' ἥτις* Dawe: *ἥτις* tamquam gloss. exhibent codd. nonnulli | *ὅτ'* **LADXrXsZrT** *ἥτ'* **F**[ac]**HN PVGQR** *ἥτ' ἂν* **CF**[pc]**O** *ἥ τ'* **Zc** | *ἢ*] *ἂν* **D** | *φέροι* **O** *-η* **C**[c]**D** *-ειν* **Q**; **FH** non leguntur || **804** *ἐν τάχει*] *ἐνθάδε* **C**[c] *ἐνταῦθα* **P** || **805** *ἀνθηλίους* **C**[c]**FHOVGRXr**, **Zc** s. l. *ἀνθ' ἡλίους* **A** || **806** *τἀνδρὸς* **LCNOPZc** *ἀνδρὸς* rell. || **807–810** eiecit Dawe || **812** *θέλοντας* **L** | *γ'* om. **HVGQR** *δ'* **O**[ac] | *σπεύδηι*] *ἂν σπεύδηι* **L**[ac]**N PV** *ἂν σπεύδει* **L**[pc]**HZc** non legitur **F** *σπεύδει* rell. | versum eiecit Dindorf; et in eius loco v. 786 legit van Leeuwen || **813** *χωρεῖν γ'* **GQRXs** || **814** *ἔργων* **F** || **822** *κτανεῖν* Morstadt

οὕτω μὲν εὐσκευοῦμεν· ἐκ δὲ τῶνδέ μοι
σὺ πρῶτος, ὦ Ζεῦ, καὶ γὰρ εἰκός, ἄρκεσον.
825 αἰτήσομαι δέ σ' οὐ μακρὸν γέρας λαβεῖν·
πέμψον τιν' ἡμῖν ἄγγελον, κακὴν φάτιν
Τεύκρωι φέροντα, πρῶτος ὥς με βαστάσηι
πεπτῶτα τῶιδε περὶ νεορράντωι ξίφει,
καὶ μὴ πρὸς ἐχθρῶν του κατοπτευθεὶς πάρος
830 ῥιφθῶ κυσὶν πρόβλητος οἰωνοῖς θ' ἕλωρ.
τοσαῦτά σ', ὦ Ζεῦ, προστρέπω· καλῶ δ' ἅμα
πομπαῖον Ἑρμῆν χθόνιον εὖ με κοιμίσαι
ξὺν ἀσφαδάιστωι καὶ ταχεῖ πηδήματι
πλευρὰν διαρρήξαντα τῶιδε φασγάνωι.
835 καλῶ δ' ἀρωγοὺς τὰς ἀεί τε παρθένους
ἀεί θ' ὁρώσας πάντα τὰν βροτοῖς πάθη,
σεμνὰς Ἐρινῦς τανύποδας, μαθεῖν ἐμὲ
πρὸς τῶν Ἀτρειδῶν ὡς διόλλυμαι τάλας.
καί σφας κακοὺς κάκιστα καὶ πανωλέθρους
840 ξυναρπάσειαν, ὥσπερ εἰσορῶσ' ἐμὲ

823 *τῶνδ' ἐμοὶ* **COV** ‖ **825** *γέρας λαβεῖν* **LCFHOT** *τέρας λαβεῖν* **P** *λαβεῖν γέρας* **V**^{ac}**G**$^{\gamma\varrho}$**Zc** *γέρας λαχεῖν* **C**$^{\gamma\varrho}$**NADXr XsZr, H** s. l. *λαχεῖν γέρας* **V**^{pc}**GQRZc**$^{2\gamma\varrho}$ ‖ **826** *ἡμῶν* **H**^{ac}, **P** s. l. ‖ **827** *φέροντα Τεύκρωι* **GQRD**^{pc} | *ὥς*] *ὅς* **CP, O** in lin., **H** s. l.; non leg. **N** | *βαστάσει* **P, C** in lin., **H** s. l.; de **O** incertum ‖ **830** *κυσὶν* **Zr** *κυσὶ* rell. ‖ **831** *τοιαῦτά σ'*] *τοσαῦτά σοι* (sine *ὦ*) **L**$^{s\gamma\varrho}$ et **ΣVGR** in lemmate *πρὸς ταῦτ'* **V** *τοιαῦτά σ'* **N** *τοσαῦτ'* **PG** *τοσαῦτα* **R, H** in lin. | *προστρέπω* **L**^{ac}**C**^{pc}**F**^{c}**OPV** *προτρέπω* **L**^{pc}**C**^{ac} rell. | *θ' ἅμα* **VZr** ‖ **832** *εὖ*] *ὡς* **F** *ὡς εὖ* **CH** ‖ **833** *ἀσφαδάιστωι* L. Dindorf *ἀσφαδάστωι* fere codd. ‖ **834** *ἀναρρήξαντα* **Σ** ad v. 833 ‖ **836** *ἀεί θ'* **J** *ἀεὶ δ'* rell. | versum om. **AXr**^{ac} et Suda 1, 62, 28 ‖ **837** *Ἐρινῦς* **LCG** *Ἐριννῦς* rell. ‖ **840** *χὤσπερ* Schneidewin

αὐτοσφαγῆ πίπτοντα. [τὼς αὐτοσφαγεῖς
πρὸς τῶν φιλίστων ἐκγόνων ὀλοίατο.]
ἴτ', ὦ ταχεῖαι ποίνιμοί τ' Ἐρινύες,
γεύεσθε, μὴ φείδεσθε πανδήμου στρατοῦ.
845 *σὺ δ', ὦ τὸν αἰπὺν οὐρανὸν διφρηλατῶν*
Ἥλιε, πατρῴιαν τὴν ἐμὴν ὅταν χθόνα
ἴδηις, ἐπισχὼν χρυσόνωτον ἡνίαν
ἄγγειλον ἄτας τὰς ἐμὰς μόρον τ' ἐμὸν
γέροντι πατρὶ τῆι τε δυστήνωι τροφῶι.
850 *ἦ που τάλαινα, τήνδ' ὅταν κλύηι φάτιν,*
στήσει μέγαν κωκυτὸν ἐν πάσηι πόλει·
ἀλλ' οὐδὲν ἔργον ταῦτα θρηνεῖσθαι μάτην ...
[ἀλλ' ἀρκτέον τὸ πρᾶγμα σὺν τάχει τινί.
ὦ Θάνατε, Θάνατε, νῦν μ' ἐπίσκεψαι μολών·
855 *καίτοι σὲ μὲν κἀκεῖ προσαυδήσω ξυνών·*
σὲ δ', ὦ φαεννῆς ἡμέρας τὸ νῦν σέλας,
καὶ τὸν διφρευτὴν Ἥλιον προσεννέπω,
πανύστατον δὴ κοὔποτ' αὖθις ὕστερον.]
ὦ φέγγος, ὦ γῆς ἱερὸν οἰκείας πέδον
860 *Σαλαμῖνος, ὦ πατρῷιον ἑστίας βάθρον,*
κλειναί τ' Ἀθῆναι καὶ τὸ σύντροφον γένος,
κρῆναί τε ποταμοί θ' οἵδε, καὶ τὰ Τρωϊκὰ
πεδία προσαυδῶ, χαίρετ', ὦ τροφῆς ἐμοί·
τοῦθ' ὑμὶν Αἴας τοὔπος ὕστατον θροεῖ·
865 *τὰ δ' ἄλλ' ἐν Ἅιδου τοῖς κάτω μυθήσομαι.*

841 *ὡς* **V** | *καὐτοσφαγεῖς* **P** | *τὼς αὐτοσφαγεῖς*] *ταῦτα νοθεύεσθαί φασιν ὑποβληθέντα πρὸς σαφήνειαν τῶν λεγομένων* **Σ**: alii alia secludunt || **842** *φίλων* **F** *φιλτάτων* **GQR**, Suda 1, 423, 10; verum 4, 579, 26 || **843** *Ἐρινύες* **LCPG** *Ἐριννύες* rell. || **851** *στήσει* Dawe *οἴσει* **V** *ἄσει* **P**gl *ἥσει* rell. || **853** sqq. v. 853 del. Geel, vv. 854–858 Campe || **854** *μ'*] *δ'* **N** om. **P** || **859** *οἰκοῦντες* **F**γρ**H**sγρ || **863** *ὦ*] *αὖ* **V** | *τροφεῖς* codd.: corr. Brunck || **864** *ἔσχατον* **GQR**

ΗΜΙΧΟΡΙΑ

Α πόνος πόνωι πόνον φέρει.
πᾶι πᾶι
πᾶι γὰρ οὐκ ἔβαν ἐγώ;
†κοὐδεὶς ἐπίσταταί με συμμαθεῖν τόπος.†
870 ἰδοὺ ἰδού·
δοῦπον αὖ κλύω τινά.
Β ἡμῶν γε ναὸς κοινόπλουν ὁμιλίαν.
Α τί οὖν δή;
Β πᾶν ἐστίβηται πλευρὸν ἕσπερον νεῶν.
875 *Α* ἔχεις οὖν;
Β πόνου γε πλῆθος, κοὐδὲν εἰς ὄψιν πλέον.
Α ἀλλ' οὐδὲ μὲν δὴ τὴν ἀφ' ἡλίου βολῶν
κέλευθον ἀνὴρ οὐδαμοῦ δηλοῖ φανείς.

ΧΟ. τίς ἂν δῆτά μοι, τίς ἂν φιλοπόνων *στρ.*
880 ἁλιαδᾶν ἔχων ἀύπνους ἄγρας,
ἢ τίς Ὀλυμπιάδων θεᾶν ἢ ῥυτῶν

866 sqq. ut fiat responsio inter 866–869 et 870–872, lacunam iamb. dimetri post 869 statuunt Bergk, alii: eadem ex causa *παπαῖ παπαῖ* (867) coni. Lachmann; *ἰδού* alterum (870) delere mavult Hermann: responsio tamen minus veri sim. videtur cum reputas alterum hemichorium v. 872 incipere ‖ **869** nondum expeditus: *ἐφίσταταί* (hoc est 'sistit') Thielemann | *τόπος*] *ὅπου* Linwood ‖ **871** *γὰρ αὖ* **T** *οὐ* …; Firnhaber ‖ **872** *λαὸς* **G**[2] s. l. ‖ **875** *ἔσχεις* **Q** ‖ **877** *οὐδὲ μὲν* **LCOVQRT**, et **G** in lin. *οὐ μὲν* **HN** ante *μὲν* non leg. **F** *οὐδὲ μὴν* **Zc** *οὐδ' ἐμοὶ* vel *οὐδὲ ἐμοὶ* **H**[γρ]**PADXrXsZr**, s. l. **G**[2]**T** | *βολῶν* **L**[ac] s. l. **L**[2pc]**F**[γρ]**HG**[pc]**ADXr XsZr**, **T** s. l. *βολῆς* **L**[ac] *μολῶν* (*-ὼν* **NT**) **CFH**[γρ]**NPVG**[ac] **QRZcT** non leg. **O** ‖ **879** *δῆτά* Hermann *δή* codd. ‖ **880** *ἄγρας*] *ἕδρας* **F**[γρ]**A**[γρ]**D**[γρ], et **H** in lin. ‖ **883** *Ὀλυμπιαδαν* **N**, et *-ιαδᾶν* coni. Elmsley | *θεᾶν* **LNGR** *θεανῶν* **Q** *θεῶν* rell.

Βοσπορίων ποταμῶν
885 *τὸν ὠμόθυμον εἴ ποθι*
πλαζόμενον λεύσσων
ἀπύοι; σχέτλια γὰρ
ἐμέ γε τὸν μακρῶν ἀλάταν πόνων
οὐρίωι μὴ πελάσαι δρόμωι,
890 *ἀλλ' ἀμενηνὸν ἄνδρα μὴ λεύσσειν ὅπου.*

ΤΕ. *ἰώ μοί μοι.*
ΧΟ. *τίνος βοὴ πάραυλος ἐξέβη νάπους;*
ΤΕ. *ἰὼ τλήμων.*
ΧΟ. *τὴν δουρίληπτον δύσμορον νύμφην ὁρῶ*
895 *Τέκμησσαν, οἴκτωι τῶιδε συγκεκραμένην.*
ΤΕ. *οἴχωκ', ὄλωλα, διαπεπόρθημαι, φίλοι.*
ΧΟ. *τί δ' ἔστιν;*
ΤΕ. *Αἴας ὅδ' ἡμῖν ἀρτίως νεοσφαγὴς*
κεῖται κρυφαίωι φασγάνωι περιπτυχής.
900 *ΧΟ.* *ὤμοι ἐμῶν νόστων·*
ὤμοι, κατέπεφνες, ἄναξ,
τόνδε συνναύταν, τάλας·

884 *ποταμῶν* Mosq. gr. 504 *ποτα ἴδρις μῶν* voluit **Q**^{ac} *ποταμῶν ἄνιδρις* fort. **L**^{ac} *ποταμῶν ἴδρις* **L**^{pc}**Q**^{pc} rell.: error fort. ex 911 ortus ‖ **885** *ὠμόθυμόν γε* **T** ‖ **886** *πλάζοιτ' ἂν* **T** ex coniectura, *προσβλέπων* pro *λεύσσων* idem ‖ **888** *ἐμέ γε*] *ἐμοὶ* **T**, silente **ΣT** | *τῶν* **H**^{ac}**ZcT** | *ἀλάταν* eiecit **T** ‖ **890** *ἀλλὰ μεμηνότ'* **NP**^{gl} *ἀλλὰ μενηνὸν* **Zc** ‖ **891** *ἰώ* semel **CHVT** ter **Zc** bis rell. | post *μοί μοι* iterum *ἰώ μοί μοι* scr. **V** ‖ **893** *τλῆμον* **CP**, **H** in lin. *ἢ τλήμων* **V** *τλήμων* bis **F** in lin. *τλῆμον* bis **F** s. l. ‖ **894** *δουρί-* **FVADXrXsZr**^{pc} *δορύ-* **CQ** *δορί-* **F** s. l. **Zr**^{ac} rell. ‖ **895** *Τέκμησαν* **LFHXrXsT** | *οἴτωι* **Σ**^{γρ} in **J** ‖ **896** *ὤχωκ'* **H**: cf. Greg. Cor. p. 66 ‖ **900** *ὤμοι* **T** *ἰώ μοι μοι* **FZr** *ἰώ μοι* rell. | *νόσων* **GR** (verum **G**^{γρ}) ‖ **901** *ὤμοι* **T** *ἰώ μοι μοι* **F** *ἰώ μοι* rell. ‖ **902** *τόνδε τὸν* **T**, silente **ΣT** | *τάλας* Hermann *ὢ τάλας* **T** *ἰὼ τάλας* rell.

ὦ ταλαίφρων γύναι.

ΤΕ. *ὡς ὧδε τοῦδ' ἔχοντος αἰάζειν πάρα.*

905 ΧΟ. *τίνος ποτ' ἆρ' ἔπραξε χειρὶ δύσμορος;*

ΤΕ. *αὐτὸς πρὸς αὑτοῦ, δῆλον· ἐν γάρ οἱ χθονὶ*
πηκτὸν τόδ' ἔγχος περιπετὲς κατηγορεῖ.

ΧΟ. *ὤμοι ἐμᾶς ἄτας, οἶος ἄρ' αἱμάχθης,*

910 *ἄφαρκτος φίλων·*
ἐγὼ δ' ὁ πάντα κωφός, ὁ πάντ' ἄϊδρις,
κατημέλησα· πᾶι πᾶι
κεῖται ὁ δυστράπελος
δυσώνυμος Αἴας;

915 ΤΕ. *οὔτοι θεατός, ἀλλά νιν περιπτυχεῖ*
φάρει καλύψω τῶιδε παμπήδην, ἐπεὶ
οὐδεὶς ἂν ὅστις καὶ φίλος τλαίη βλέπειν
φυσῶντ' ἄνω πρὸς ῥῖνας ἔκ τε φοινίας
πληγῆς μελανθὲν αἷμ' ἀπ' οἰκείας σφαγῆς.

920 *οἴμοι, τί δράσω; τίς σε βαστάσει φίλων;*
ποῦ Τεῦκρος; ὡς ἀκμὴν ἄν, εἰ βαίη, μόλοι,
πεπτῶτ' ἀδελφὸν τόνδε συγκαθαρμόσαι.

903 *ὦ* **T** *ἰὼ* rell. | *ταλαίφρων* $\mathbf{L}^{pc}$**OVRADXsZrZc** *-φρω* $\mathbf{L}^{ac}$ *-φρον* **CFHNPGQXrT**, et **R** s. l. | *γυνή* **COV** ‖ **905** *ἔπραξε*] cf. 951: *ἔρξε* Hermann *ἔπεσε* Blaydes ‖ **906** *αὐτοῦ* $\mathbf{L}^{ac}\mathbf{F}^{ac}$**HNOGQ**$\mathbf{R}^{ac}$ *αὐτῶ* **C** | *ἐν*] *οὐ* **H** | *οἱ*] ut vid. *ἐν* $\mathbf{H}^{ac}$ ‖ **907** *περιπετοῦς* Musgrave ‖ **909** *ὤμοι* **T** *ἰώ μοί μοι* **FZr** *ἰώ μοι* rell. | *οἷος* **CFNGQRZr** | *ἡμάχθης* **HT**, fort. $\mathbf{C}^{ac}$: *ἁιμάχθης* Radermacher ‖ **910** *ἄφρακτος* codd.: corr. Wunder | *τῶν φίλων* **T**, silente **ΣT** ‖ **914** *ὁ δυσώνυμος* codd. praeter **OD** ‖ **916** *'κάλυψα* Wecklein ‖ **920** *σφε* Dawe ‖ **921** *ἀκμὴν ἄν* Vauvilliers *ἀκμαίως* **D** *ἀκμαῖος* rell. et pap. Berol. 21 208 *ἀκμαῖ' ἄν* Wakefield

ΧΟ. ὦ δύσμορ' Αἴας, οἷος ὢν οἵως ἔχεις,
ὡς καὶ παρ' ἐχθροῖς ἄξιος θρήνων τυχεῖν.

925 ἔμελλες, τάλας, ἔμελλες χρόνωι ἀντ.
στερεόφρων ἄρ' ἐξανύσσειν κακὰν
μοῖραν ἀπειρεσίων πόνων. τοῖά μοι
πάννυχα καὶ φαέθοντ'
930 ἀνεστέναζες ὠμόφρων
ἐχθοδόπ' Ἀτρείδαις
οὐλίωι σὺν πάθει.
μέγας ἄρ' ἦν ἐκεῖνος ἄρχων χρόνος
935 πημάτων ἦμος ἀριστόχειρ
⟨–⏑⏑–⟩ ὅπλων ἔκειτ' ἀγὼν πέρι.

ΤΕ. ἰώ μοί μοι.
ΧΟ. χωρεῖ πρὸς ἧπαρ, οἶδα, γενναία δύη.
ΤΕ. ἰώ μοί μοι.
940 ΧΟ. οὐδέν σ' ἀπιστῶ καὶ δὶς οἰμῶξαι, γύναι,
τοιοῦδ' ἀποβλαφθεῖσαν ἀρτίως φίλου.
ΤΕ. σοὶ μὲν δοκεῖν ταῦτ' ἔστ', ἐμοὶ δ' ἄγαν φρονεῖν.
ΧΟ. ξυναυδῶ.

923 *Αἶαν* Suda 3, 606, 15; 4, 626, 26 *ἄτας*, cum *οἵας* pro *οἵως*, Mekler | *οἷος ἔχεις* L *οἵμ' ὡς ἔχεις* Seyffert *οἵων κυρεῖς* Nauck || **923–924** choro trib. **GR**[ac], Tecmessae continuant **R**[pc] rell. || **924** *ἐχθρῶν* **PQR** || **925** *δὴ τάλας* **T**, silente **ΣT** | *ἔμελλες χρόνωι*] *ποτε χρόνωι* coni. **T** || **926** *ἐξανύσσειν* **LCOP** *ἐξανύσειν* rell. || **930** ⟨*ἄναξ*⟩ *ἀνεστέναζες* Elmsley metri gr.: cf. 885 et app. crit. ad 884 || **934** *ἄρ' ἦν*] *γ' ἄρ' ἦν* **F** *ἄρ' ἡ* **Q**[ac] *ἄρα γ'* **T** || **936** ⟨*Ἀχιλλέως*⟩ suppl. **T**: praestat ⟨*χρυσοδέτων*⟩ Musgrave | *ἔκειθ' ἀγὼν* Wunder || **937** *ἰὼ ἰώ μοι μοι* **OV** *οἴμοι μοι* **G** || **939** *ἰὼ ἰώ μοί μοι* **OV** || **941** *ἀρτίου* **L** s. l., **H**: *οὐ γάρ ἐστι χρονικόν* **Σ** | *ἀρτίως*] ... *ἀντὶ τοῦ γνησίου* Suda 1, 369, 19 hunc locum citans

TE. οἴμοι, τέκνον, πρὸς οἷα δουλείας ζυγὰ
945 χωροῦμεν, οἷοι νῶιν ἐφεστᾶσι σκοποί.
ΧΟ. ὤμοι ἀναλγήτων
δισσῶν ἐθρόησας ἄναυδ'
ἔργ' Ἀτρειδᾶν τῶιδ' ἄχει·
ἀλλ' ἀπείργοι θεός.
950 TE. οὐκ ἂν τάδ' ἔστη τῆιδε μὴ θεῶν μέτα.
ΧΟ. ἄγαν ὑπερβριθές γε τἄχθος ἤνυσαν.
TE. τοιόνδε μέντοι Ζηνὸς ἡ δεινὴ θεὸς
Παλλὰς φυτεύει πῆμ' Ὀδυσσέως χάριν.
955 ΧΟ. ἦ ῥα κελαινῶπ' ἂν θυμὸν ἐφυβρίζει
πολύτλας ἀνὴρ
γελᾶι τε τοῖσι μαινομένοις ἄχεσιν
πολὺν γέλωτα, φεῦ φεῦ,
ξύν τε διπλοῖ βασιλῆς
960 κλύοντες Ἀτρεῖδαι.
TE. οἱ δ' οὖν γελώντων κἀπιχαιρόντων κακοῖς

946 *ἰώ μοι* $L^{s\gamma\rho}$ || **947** *ἄναυδ' ἔργ'* Hermann *ἄναυδόν γ'*, traiecto *ἔργον* post *Ἀτρειδῶν*, **T**, silente **ΣT** *ἄναυδον ἔργον* rell. || **951** *ἄγαν* **LCOGQRZr** *ἄγαν δ'* **A** *καὶ μὴν ἄγαν* **T**, silente **ΣT** *ἄγαν γ'* rell. | *γε τἄχθος* Blaydes *τε ἄχθος* **GQR** *ἄχθος* rell. | *ἤνυσεν* **Q**, et **H** s. l.: *ἤνυσας* **J** || **954** *Ὀδυσσῆος* **CV** || **955** *κελαινῶπ' ἂν* Blaydes *κελαινῶπα* **O** et Eustathius 72, 4, Hesych. 2, 457, 37 Latte *κελαινώπαν* rell. || **956** *πολύτλας* **Wa**, coni. Porson *ὁ πολύτλας* rell. || **957** *τε* Blaydes *δὲ* codd. | *τοῖσι* **T**, silente **ΣT** *τοῖς* rell. *τοῖσδε* Elmsley || **959** *βασιλῆς* rec. *βασιλῆες* nostri codd. *βασιλέες* coni. **T** || **961–973** minus bene procedit haec oratio, nec certum est an 961–973 versibus 915–924 respondere debeant. lacunam ante 966, cui deest copula, notavi, in qua ni fallor *μᾶλλον* steterat. *ἐπεγγελῶιεν* cum *κάτα* (969) displicet, necnon isti dativi casus (970). 966–970 del. Nauck: alii alia delent, supplent, movent || **961** *οὖν*] *αὖ* **Q** et Suda 1, 476, 1

τοῖς τοῦδ'. ἴσως τοι, κεἰ βλέποντα μὴ 'πόθουν,
θανόντ' ἂν οἰμώξειαν ἐν χρείαι δορός.
οἱ γὰρ κακοὶ γνώμαισι τἀγαθὸν χεροῖν
965 ἔχοντες οὐκ ἴσασι πρίν τις ἐκβάλῃι.
⟨. . . . .⟩
ἐμοὶ πικρὸς τέθνηκεν ἢ κείνοις γλυκύς,
αὑτῶι δὲ τερπνός· ὧν γὰρ ἠράσθη τυχεῖν
ἐκτήσαθ' αὑτῶι, θάνατον ὅνπερ ἤθελεν.
τί δῆτα τοῦδ' ἐπεγγελῶιεν ἂν κάτα;
970 θεοῖς τέθνηκεν οὗτος, οὐ κείνοισιν, οὔ.
πρὸς ταῦτ' Ὀδυσσεὺς ἐν κενοῖς ὑβριζέτω·
Αἴας γὰρ αὐτοῖς οὐκέτ' ἔστιν, ἀλλ' ἐμοὶ
λιπὼν ἀνίας καὶ γόους διοίχεται.

ΤΕΥΚΡΟΣ

ἰώ μοί μοι.
975 ΧΟ. σίγησον· αὐδὴν γὰρ δοκῶ Τεύκρου κλύειν
βοῶντος ἄτης τῆσδ' ἐπίσκοπον μέλος.
ΤΕ. ὦ φίλτατ' Αἴας, ὦ ξύναιμον ὄμμ' ἐμοί,
ἆρ' ἠμπόληκας ὥσπερ ἡ φάτις κρατεῖ;
ΧΟ. ὄλωλεν ἀνήρ, Τεῦκρε· τοῦτ' ἐπίστασο.
980 ΤΕ. ὤμοι βαρείας ἆρα τῆς ἐμῆς τύχης.
ΧΟ. ὡς ὧδ' ἐχόντων . . .
ΤΕ. ὢ τάλας ἐγώ, τάλας.

964 *τἀγαθὸν ἐν* **Q** *τἀγάθ' ἐν* **J**, coni. Reiske ‖ **966** *ἢι* novit Eustathius 1521, 40 ‖ **967** *αὐτῶι* **L**[ac]**CHOGQRD**[ac] ‖ **968** *αὐτῶι* **L**[ac]**GQ** ‖ **969** *τί*] *πῶς* **CN**[2pc]**ADXrXsZr** | *τοῦδ' ἔτ' ἐγγελῶιεν* Meineke *τοῦδέ γ' ἐγγελῶιεν* Porson: vix similis El. 834 ‖ **969–973** choro trib. **CNOPXrXsZrZc**: cf. 923–924 ‖ **974** *ἰώ μοι μοι* bis **Q** ter **Zc** *ἰὼ ἰώ μοι μοι* **CVXsZr** ‖ **974–1420** vix Sophoclis esse censuit Bergk: ac certe haec pars fabulae interpolationibus scatet ‖ **977** *ἐμόν* **OR** ‖ **978** *ἠμπόληκά σ'* Lenting

ΧΟ. *πάρα στενάζειν.*
ΤΕ. *ὢ περισπερχὲς πάθος.*
ΧΟ. *ἄγαν γε, Τεῦκρε.*
ΤΕ. *φεῦ τάλας. τί γὰρ τέκνον*
τὸ τοῦδε; ποῦ μοι γῆς κυρεῖ τῆς Τρωιάδος;
ΧΟ. *μόνος παρὰ σκηναῖσιν...*
985 ΤΕ. *οὐχ ὅσον τάχος*
δῆτ' αὐτὸν ἄξεις δεῦρο, μή τις ὡς κενῆς
σκύμνον λεαίνης δυσμενῶν ἀναρπάσηι;
ἴθ', ἐγκόνει, σύγκαμνε· τοῖς σθένουσί τοι
φιλοῦσι πάντες κειμένοις ἐπεγγελᾶν.
990 ΧΟ. *καὶ μὴν ἔτι ζῶν, Τεῦκρε, τοῦδέ σοι μέλειν*
ἐφίεθ' ἀνὴρ κεῖνος ὥσπερ οὖν μέλει.
ΤΕ. *ὦ τῶν ἁπάντων δὴ θεαμάτων ἐμοὶ*
ἄλγιστον ὧν προσεῖδον ὀφθαλμοῖς ἐγώ,
ὁδός θ' ὁδῶν πασῶν ἀνιάσασα δὴ
995 *μάλιστα τοὐμὸν σπλάγχνον, ἣν δὴ νῦν ἔβην,*
ὦ φίλτατ' Αἴας, τὸν σὸν ὡς ἐπηισθόμην
μόρον διώκων κἀξιχνοσκοπούμενος.
ὀξεῖα γάρ σου βάξις ὡς θεοῦ τινος
διῆλθ' Ἀχαιοὺς πάντας ὡς οἴχηι θανών.
1000 *ἁγὼ κλύων δύστηνος ἐκποδὼν μὲν ὢν*
ὑπεστέναζον, νῦν δ' ὁρῶν ἀπόλλυμαι.
οἴμοι.
ἴθ', ἐκκάλυψον, ὡς ἴδω τὸ πᾶν κακόν.

988 *σθένουσι* Seyffert *θανοῦσι* codd. || 991 *μέλεις* F[ac] *μέλλεις* F[pc]H *μέλλει* CNOVD[ac] || 994 *πασῶν* L[pc]ADXrXsZrT om. F[ac] *ἁπασῶν* L[ac]F[pc] rell. | *ὁδός τ' ἀνιάσασα δὴ πασῶν ὁδῶν* rec. *ὁδῶν θ' ἁπασῶν ὁδὸς* Brunck || 995 *δὴ νῦν*] *νῦν δὴ* H || 1000 *δείλαιος* HGRADXrXsZr | *μὲν ὢν*] *μένων* L[ac]H[γρ]N[ac]PGQR || 1001 *ὁρῶν σ'* F || 1002 *ὤμοι* GR

ὦ δυσθέατον ὄμμα καὶ τόλμης πικρᾶς,
1005 ὅσας ἀνίας μοι κατασπείρας φθίνεις.
ποῖ γὰρ μολεῖν μοι δυνατόν, εἰς ποίους βροτούς,
τοῖς σοῖς ἀρήξαντ' ἐν πόνοισι μηδαμοῦ;
ἦ πού με Τελαμών, σὸς πατὴρ ἐμός θ' ἅμα,
δέξαιτ' ἂν εὐπρόσωπος ἵλεώς τ' ἰδὼν
1010 χωροῦντ' ἄνευ σοῦ· πῶς γὰρ οὔχ; ὅτωι πάρα
μηδ' εὐτυχοῦντι μηδὲν ἥδιον γελᾶν.
οὗτος τί κρύψει; ποῖον οὐκ ἐρεῖ κακόν
τὸν ὄαρος ἐκγεγῶτα πολεμίου νόθον,
τὸν δειλίαι προδόντα καὶ κακανδρίαι
1015 σέ, φίλτατ' Αἴας, ἢ δόλοισιν, ὡς τὰ σὰ
κράτη θανόντος καὶ δόμους νέμοιμι σούς.
τοιαῦτ' ἀνὴρ δύσοργος, ἐν γήραι βαρύς,
ἐρεῖ, πρὸς οὐδὲν εἰς ἔριν θυμούμενος·
τέλος δ' ἀπωστὸς γῆς ἀπορριφθήσομαι,
1020 δοῦλος λόγοισιν ἀντ' ἐλευθέρου φανείς.
τοιαῦτα μὲν κατ' οἶκον· ἐν Τροίαι δέ μοι
πολλοὶ μὲν ἐχθροί, παῦρα δ' ὠφελήσιμα·

1005 *κατασπείρεις φθίνων* **P** s. l. quasi gl. *κατέσπειρας φθίνων* coni. Blaydes ‖ **1006** *μοι*] *με* Suda 4, 258, 17 | *εἰς*] *ἢ* **FGR** *ἢ εἰς* **HP** ‖ **1007** *πόνοισιν* (*πόνοις* **H**) *οὐδαμοῦ* **PZc**, **H** s. l. ‖ **1008** *με* Kuester om. codd. | *ὁ σὸς* Suda | *θ' ἅμα* **L**^{c}**HADXr XsZrZc**^{c}**T** *τ' ἰδὼν* **Wa**^{γρ} *τ' ἴσως* rell. ‖ **1009** *τ' ἰδὼν* Hermann *θ' ἅμα* **CH**^{γρ}**PV**^{2pc} *τ' ἴσως* rell. | vers. om. **F**^{ac}**G**^{ac}, post **1010** scr. **Zc**^{ac} ‖ **1010** *ὅτωι*] *οὕτω* **H**^{ac}**ODXr**^{γρ} ‖ **1011** *ἥδιον* **FADXrXsZrT** *ἴδιον* **HZc** *ἵλεων* fere rell. *εὔδιον* Wecklein ‖ **1012** *κακόν*] *λόγον* **P** ‖ **1013** *τὸν ὄαρος ἐκγεγῶτα* Dawe *τον ἐκ δορὸς γεγῶτα* codd.: errorem adiuvat confusio ΟΑΡΟϹ~ ΑΟΡΟϹ ‖ **1015** *Αἶαν* Suda 3, 12, 11 ‖ **1016** *θρόνους* F. W. Schmidt ‖ **1019** *ἀπορριφήσομαι* **L**^{pc}**F HOQAXrZrZcT** ‖ **1020** *γοναῖσιν* seu *ψόγοισιν* (*λοιδορίαις* **Σ**) F. W. Schmidt ‖ **1022** *παῦρα* **LADZrZcT** *παῦροι* **Zc**^{s} s. l. et rell. | *ὠφελήσιμα* Johnson *ὠφέλιμοι* **O**^{ac} *ὠφελήσιμοι* **O**^{pc} rell.

καὶ ταῦτ' ἄφαντα σοῦ θανόντος ηὑρόμην.
οἴμοι, τί δράσω; πῶς σ' ἀποσπάσω πικροῦ
1025 τοῦδ' αἰόλου κνώδοντος, ὦ τάλας, ὑφ' οὗ
φονέως ἄρ' ἐξέπνευσας; εἶδες ὡς χρόνωι
ἔμελλέ σ' Ἕκτωρ καὶ θανὼν ἀποφθίσαι;
σκέψασθε, πρὸς θεῶν, τὴν τύχην δυοῖν βροτοῖν·
Ἕκτωρ μέν, ὧι δὴ τοῦδ' ἐδωρήθη πάρα
1030 ζωστῆρι πρισθεὶς ἱππικῶν ἐξ ἀντύγων
ἐκνάπτετ' αἰὲν ἔστ' ἀπέψυξεν βίον·
οὗτος δ' ἐκείνου τήνδε δωρειὰν ἔχων
πρὸς τοῦδ' ὄλωλε θανασίμωι πεσήματι.
ἆρ' οὐκ Ἐρινὺς τοῦτ' ἐχάλκευσε ξίφος
1035 κἀκεῖνον Ἅιδης, δημιουργὸς ἄγριος;
ἐγὼ μὲν οὖν καὶ ταῦτα καὶ τὰ πάντ' ἀεὶ
φάσκοιμ' ἂν ἀνθρώποισι μηχανᾶν θεούς·
ὅτωι δὲ μὴ τάδ' ἐστὶν ἐν γνώμηι φίλα,
κεῖνος τὰ κείνου στεργέτω, κἀγὼ τάδε.

1023 *ταῦτ' ἄφαντα* Jackson *ταῦθ'* (*ταῦτ'* **H**) *ἅπαντα* **HNP** et Eustathius 999, 61 *τοιαῦτα πάντα* **G** *ταῦτα πάντα* rell. ‖ **1024** *πῶς σ'*] *πῶς* **L**$\mathbf{N}^{ac}$**O**$\mathbf{P}^{ac}\mathbf{A}^{ac}$**DZc**, fort. $\mathbf{C}^{ac}$, Suda 3, 141, 11 *πῶσ'* **HR** ‖ **1027** *ἀποφθίσαι* Hermann *ἀποφθίσειν* codd. et Suda 1, 328, 9, ubi post lemma *ἀποφθίσειεν* (*-ειν* **T**) habet *ἀνελεῖν, θανατῶσαι* ‖ **1029** *τοῦδ'*] *τοῦτ'* **LFOGQR** et Suda 1, 250, 2; 4, 612, 24 ‖ **1031** *ἐγνάπτετ'* **PADXs**^{c}**T** *ἐγνάμπτετ'* **Xr** *ἐγκνάπτετ'* **Zc** *ἐγνάπτοιτ'* **Zr** non leg. **CF** | *αἰὲν* mirum quantum languet: *αἰκῶς* Enger | *ἔστ'* **FNOG**^{c}**ZcT** *εἶτ'* Sudae codd. plerique | *αἰῶν' εὖτ' ἀπέψυξεν βίου* Hermann ‖ **1032** *δωρὰν* **O** *δωρεὰν* rell.: corr. v. Bamberg ‖ **1034** *ἆρ' οὖν οὐκ* **Zc** | *Ἐρινὺς* **LVGQR** *Ἐριννὺς* rell. ‖ **1035** *Ἄρης* volunt **CF**^{c}**HPV**^{2c} ‖ **1036** *οὖν* **LCFOPVG RZrT** *ἂν* **HNQADXrXsZc** | *ἀεὶ*] *ὁμοῦ* (cum *πάνθ'*) **P** *ἀεὶ* et suo loco et post *οὖν* **CV** ‖ **1039** *τἀκείνου* **H** *τ' ἐκείνου* **P** *ἐκεῖνα* **GQR** *τ' ἐκεῖνα* rell.

1040 *ΧΟ.* *μὴ τεῖνε μακράν, ἀλλ' ὅπως κρύψεις τάφωι*
φράζου τὸν ἄνδρα, χὤτι μυθήσηι τάχα.
βλέπω γὰρ ἐχθρὸν φῶτα, καὶ τάχ' ἂν κακοῖς
γελῶν ἃ δὴ κακοῦργος ἐξίκοιτ' ἀνήρ.
ΤΕ. *τίς δ' ἐστὶν ὅντιν' ἄνδρα προσλεύσσεις στρατοῦ;*
1045 *ΧΟ.* *Μενέλαος, ὧι δὴ τόνδε πλοῦν ἐστείλαμεν.*
ΤΕ. *ὁρῶ· μαθεῖν γὰρ ἐγγὺς ὢν οὐ δυσπετής.*

ΜΕΝΕΛΑΟΣ
οὗτος, σὲ φωνῶ, τόνδε τὸν νεκρὸν χεροῖν
μὴ συγκομίζειν, ἀλλ' ἐᾶν ὅπως ἔχει.
ΤΕ. *τίνος χάριν τοσόνδ' ἀνήλωσας λόγον;*
1050 *ΜΕ.* *δοκοῦντ' ἐμοί, δοκοῦντα δ' ὃς κραίνει στρατοῦ.*
ΤΕ. *οὔκουν ἂν εἴποις ἥντιν' αἰτίαν προθείς;*
ΜΕ. *ὁθούνεκ' αὐτὸν ἐλπίσαντες οἴκοθεν*
ἄγειν Ἀχαιοῖς ξύμμαχόν τε καὶ φίλον,
ἐξηύρομεν ζητοῦντες ἐχθίω Φρυγῶν·
1055 *ὅστις στρατῶι ξύμπαντι βουλεύσας φόνον*
νύκτωρ ἐπεστράτευσεν, ὡς ἕλοι δορί·
κεἰ μὴ θεῶν τις τήνδε πεῖραν ἔσβεσεν,
ἡμεῖς μὲν ἂν τήνδ' ἣν ὅδ' εἴληχεν τύχην
φθάνοντες ἂν προυκείμεθ' αἰσχίστωι μόρωι,

1040 *κρύψεις* **AD^{c}XrXsZrT**, et fort. **Zc^{c}** *κρύψης* rell. ‖ **1041** *τάχα*] *νέον* **Q** ‖ **1044** *ὅντιν'*] *οὖν τις* **L^{ac}** ‖ **1045** *ἐστειλάμην* **L^{ac}** *ἐστάλημεν* **F** in lin. ‖ **1049** *ἀνάλωσας* **V** ‖ **1050** *δοκοῦνθ' ὃς* **HP** *δοκοῦντά θ' ὃς* **ZcT** ‖ **1051** *οὔκουν* **Zc** *οὔκοῦν* **P** *οὐκοῦν* rell. ‖ **1053** *ἄξειν* **L** s. l., **CNOPVG$^{\gamma\rho}$T** ‖ **1054** *ζητοῦντες* minus aptum videtur: *ζητοῦντες γ'* **F** *ζητοῦντ' ἔτ'* Eldick *ξυνόντες* Reiske ‖ **1056** *ἔχοι δορί* **R** *ἕλοι δόρει* **G^{2pc}Q** *ἐλοιδόρει* **L$^{\gamma\rho}$F$^{\gamma\rho}$N$^{\gamma\rho}$O$^{\gamma\rho}$**, **G$^{\gamma\rho}$** ante corr., **V** in lin., etiam **ΣL** in lemmate ‖ **1059** *θανόντες* codd.: corr. Seyffert | *ἐχθίστω* **T** *ἀθλίω* **HGRQ^{pc}** fort. *ἀθλία* **Q^{ac}** (verum **G$^{\gamma\rho}$Q^{gl}**)

1060 *οὗτος δ' ἂν ἔζη. νῦν δ' ἐνήλλαξεν θεὸς*
τὴν τοῦδ' ὕβριν πρὸς μῆλα καὶ ποίμνας πεσεῖν·
ὧν οὕνεκ' αὐτὸν οὔτις ἔστ' ἀνὴρ σθένων
τοσοῦτον ὥστε σῶμα τυμβεῦσαι τάφωι,
ἀλλ' ἀμφὶ χλωρὰν ψάμαθον ἐκβεβλημένος
1065 *ὄρνισι φορβὴ παραλίοις γενήσεται.*
1067 *εἰ γὰρ βλέποντος μὴ 'δυνήθημεν κρατεῖν,*
1069 *χερσὶν παρευθύνοντες – οὐ γὰρ ἔσθ' ὅπου*
1070 *λόγων γ' ἀκοῦσαι ζῶν ποτ' ἠθέλησ' ἐμῶν –*
1068 *πάντως θανόντος γ' ἄρξομεν, κἂν μὴ θέλῃς.*
1066 *πρὸς ταῦτα μηδὲν δεινὸν ἐξάρῃς μένος.*
1071 *[καίτοι κακοῦ πρὸς ἀνδρὸς ἄνδρα δημότην*
μηδὲν δικαιοῦν τῶν ἐφεστώτων κλύειν.
οὐ γάρ ποτ' οὔτ' ἂν ἐν πόλει νόμοι καλῶς
φέροιντ' ἄν, ἔνθα μὴ καθεστήκοι δέος,
1075 *οὔτ' ἂν στρατός γε σωφρόνως ἄρχοιτ' ἔτι*
μηδὲν φόβου πρόβλημα μηδ' αἰδοῦς ἔχων.
ἀλλ' ἄνδρα χρή, κἂν σῶμα γεννήσηι μέγα,
δοκεῖν πεσεῖν ἂν κἂν ἀπὸ σμικροῦ κακοῦ.
δέος γὰρ ὧι πρόσεστιν αἰσχύνη θ' ὁμοῦ,
1080 *σωτηρίαν ἔχοντα τόνδ' ἐπίστασο·*

1063 *τοιοῦτον* **L**$\mathbf{C}^{ac}$**PVADXrXsZr** *τοῖον* **H** ‖ **1965** *παράλιος* **R**, coni. Naber ‖ **1066** sqq. v. 1066 post 1068 traiecit Dawe, 1068 post 1070 iam Morstadt ‖ **1068** *γ'* om. **PGQRT** *δ'* **H** ‖ **1070** *λόγων γ'* Campbell *λόγων* **FHADXrZrZcT** *λόγων* * **Xs** *λόγων τ'* rell. ‖ **1071–1086** eiecit Romeis ‖ **1074** *καθεστήκοι* $\mathbf{F}^{ac}$**O**$\mathbf{V}^{pc}$**XrXsZrT** et **A** s. l. *-κῃ* $\mathbf{L}^{c}$ et **A** in lin. *-κει* $\mathbf{F}^{pc}$**HNP DZc** *-κε* **CGQR** et fort. $\mathbf{V}^{ac}$ *παρεστήκει* et *-κῃ* vv. ll. Stobaeus 4, 4, 18 ‖ **1075** *ἔχοιτ' ἔτι* $\mathbf{L}^{ac}$ *ἄρχοιτό τις* **H** ‖ **1077** *γεννηθῆι μέγας* Musgrave

ὅπου δ' ὑβρίζειν δρᾶν θ' ἃ βούλεται παρῆι,
ταύτην νόμιζε τὴν πόλιν χρόνωι ποτὲ
ἐξ οὐρίων δραμοῦσαν εἰς βυθὸν πεσεῖν.
ἀλλ' ἑστάτω μοι καὶ δέος τι καίριον,
1085 καὶ μὴ δοκῶμεν δρῶντες ἃν ἡδώμεθα
οὐκ ἀντιτείσειν αὖθις ἃν λυπώμεθα.]
ἕρπει παραλλὰξ ταῦτα· πρόσθεν οὗτος ἦν
αἴθων ὑβριστής, νῦν δ' ἐγὼ μέγ' αὖ φρονῶ.
καί σοι προφωνῶ τόνδε μὴ θάπτειν, ὅπως
1090 μὴ τόνδε θάπτων αὐτὸς εἰς ταφὰς πέσηις.
ΧΟ. Μενέλαε, μὴ γνώμας ὑποστήσας σοφὰς
εἶτ' αὐτὸς ἐν θανοῦσιν ὑβριστὴς γένηι.
ΤΕ. οὐκ ἄν ποτ', ἄνδρες, ἄνδρα θαυμάσαιμ' ἔτι,
ὃς μηδὲν ὢν γοναῖσιν εἶθ' ἁμαρτάνει,
1095 ὅθ' οἱ δοκοῦντες εὐγενεῖς πεφυκέναι
τοιαῦτα μωραίνουσιν ἐν λόγοις ἔπη.
ἄγ', εἴπ' ἀπ' ἀρχῆς αὖθις· ἦ σὺ φὴις ἄγειν
τὸν ἄνδρ' Ἀχαιοῖς δεῦρο σύμμαχον λαβών;
οὐκ αὐτὸς ἐξέπλευσεν ὡς αὑτοῦ κρατῶν;
1100 ποῦ σὺ στρατηγεῖς τοῦδε; ποῦ δὲ σοὶ λεὼν
ἔξεστ' ἀνάσσειν ὧν ὅδ' ἤγετ' οἴκοθεν;

1081 *πάρα* **ADXrXsZrZc**$^{2\gamma\rho}$, **T** s.l. *παρῆν* Stobaei 4, 5, 12 cod. **S** || **1082** *ποτ' ἂν* Elmsley || **1083** *οὐρίας* Stobaei Tr. | *ἐς* **FG QT** || **1084** *δέους* **G** || **1086** *οὐδ' οὐκ* **M** et *οὐδ' εἰκ'* **A** Stobaei | *αὖτις* Stobaeus | *λυποίμεθα* Linwood || **1088** *μέγα φρονῶ* **GQD** || **1090** *εἰς ταφὰς αὐτὸς* hoc ordine **O** || **1092** *εἶτ'*] *μήτ'* Stobaeus 5, 1139, 15 || **1094** *ἁμαρτάνηι* Stobaeus 5, 716, 19 || **1096** *τοιαῦθ' ἁμαρτάνουσιν* codd.: corr. Holzner | *λόγοις· ἐπεὶ* Mekler || **1098** *τόνδ'* **L** (ex *τὸν δ'*) || **1099** *αὑτοῦ* **FPADXrXsZrZcT** *αὐτοῦ* **LCHNOV** *αὐτὸς* **GR** *αὐτοῖς* **G**$^{\gamma\rho}$ *καὶ αὐτοῖς* **Q**^{ac} *καὶ αὐτὸς* **Q**^{pc} || **1100** *λεών* **D**^{pc} *λαῶν* **LHNQ**^{gl} *λεῶν* rell. || **1101** *ἤγετ'* anon. Quart. Rev. 3, 396 *ἤγαγ'* **P** *ἡγεῖτ'* rell.

Σπάρτης ἀνάσσων ἦλθες, οὐχ ἡμῶν κρατῶν,
οὐδ' ἔσθ' ὅπου σοὶ τόνδε κοσμῆσαι πλέον
ἀρχῆς ἔκειτο θεσμὸς ἢ καὶ τῷδε σέ.
1105 *[ὕπαρχος ἄλλων δεῦρ' ἔπλευσας, οὐχ ὅλων*
στρατηγός, ὥστ' Αἴαντος ἡγεῖσθαί ποτε.]
ἀλλ' ὧνπερ ἄρχεις ἄρχε, καὶ τὰ σέμν' ἔπη
κόλαζ' ἐκείνους· τόνδε δ', εἴτε μὴ σὺ φῂς
εἴθ' ἅτερος στρατηγός, εἰς ταφὰς ἐγὼ
1110 *θήσω δικαίως, οὐ τὸ σὸν δείσας στόμα.*
[οὐ γάρ τι τῆς σῆς οὕνεκ' ἐστρατεύσατο
γυναικός, ὥσπερ οἱ πόνου πολλοῦ πλέῳ,
ἀλλ' οὕνεχ' ὅρκων οἷσιν ἦν ἐπώμοτος,
σοῦ δ' οὐδέν· οὐ γὰρ ἠξίου τοὺς μηδένας.
1115 *πρὸς ταῦτα πλείους δεῦρο κήρυκας λαβὼν*
καὶ τὸν στρατηγὸν ἧκε· τοῦ δὲ σοῦ ψόφου
οὐκ ἂν στραφείην, ἕως ἂν ἧις οἷός περ εἶ.]
ΧΟ. *οὐδ' αὖ τοιαύτην γλῶσσαν ἐν κακοῖς φιλῶ·*
τὰ σκληρὰ γάρ τοι, κἂν ὑπέρδικ' ἧι, δάκνει.
1120 *ΜΕ.* *ὁ τοξότης ἔοικεν οὐ σμικρὸν φρονεῖν.*
ΤΕ. *[οὐ γὰρ βάναυσον τὴν τέχνην ἐκτησάμην.*
ΜΕ. *μέγ' ἄν τι κομπάσειας, ἀσπίδ' εἰ λάβοις.*
ΤΕ. *κἂν ψιλὸς ἀρκέσαιμι σοί γ' ὡπλισμένῳ.*

1104 *εἰ καὶ τοῦδέ σοι* $L^{s\gamma\rho}$ idem, cum *ἦ*, $V^{s\gamma\rho}$ || **1105** sq. eiecit Schneidewin || **1110** *οὐ*] *μὴ* **GQR** || **1111** *εἵνεκ'* **FP** || **1111–1117** eiecit Reichard || **1112** *οἱ στόλου πολλοὶ λεῴ* F. W. Schmidt || **1113** *εἵνεχ'* **G** *ἕνεχ'* **R** *ἕνεχ'* **Q** | *ἐνώμοτος* $L^{pc}V^{2}$ **ADXs** || **1116** *καὶ τὸν*] *καὐτὸν* Herwerden | *τοῦ δὲ*] *καὶ τοῦ* **QR**, et in ras. scr. **G** || **1117** *ἕως* **F** s. l., gl. in **DXrXsT** *ἔστ'* **S**, coni. Reiske *ὡς* rell. || **1118–1119** choro tribuit **Σ**: 1118 Menelao, 1119 Teucro codd. || **1120** *σμικρὸν* **L** *μικρὸν* **GQ** *μικρὰ* $G^{\gamma\rho}$ ut vid. *σμικρὰ** **Zc** *σμικρὰ* rell., Eustathius 851, 60 et **Σ** rec. Ar. Ach. 710 || **1121–1124** eiecit Romeis

ΜΕ. ἡ γλῶσσά σου τὸν θυμὸν ὡς δεινὸν τρέφει.]
1125 ΤΕ. ξὺν τῶι δικαίωι γὰρ μέγ' ἔξεστιν φρονεῖν.
ΜΕ. δίκαια γὰρ τόνδ' εὐτυχεῖν κτείναντά με;
ΤΕ. κτείναντα; δεινόν γ' εἶπας, εἰ καὶ ζῆις θανών.
ΜΕ. θεὸς γὰρ ἐκσώιζει με, τῶιδε δ' οἴχομαι.
ΤΕ. μὴ νῦν ἀτίμα θεούς, θεοῖς σεσωμένος.
1130 ΜΕ. ἐγὼ γὰρ ἂν ψέξαιμι δαιμόνων νόμους;
ΤΕ. εἰ τοὺς θανόντας οὐκ ἐᾶις θάπτειν παρών.
ΜΕ. τούς γ' αὐτὸς αὑτοῦ πολεμίους· οὐ γὰρ καλόν.
ΤΕ. ἦ σοὶ γὰρ Αἴας πολέμιος προὔστη ποτέ;
ΜΕ. μισοῦντ' ἐμίσει· καὶ σὺ τοῦτ' ἠπίστασο.
1135 ΤΕ. κλέπτης γὰρ αὐτοῦ ψηφοποιὸς ηὑρέθης.
ΜΕ. ἐν τοῖς δικασταῖς, οὐκ ἐμοί, τόδ' ἐσφάλη.
ΤΕ. πόλλ' ἂν καλῶς λάθραι σὺ κλέψειας κακά.
ΜΕ. τοῦτ' εἰς ἀνίαν τοὔπος ἔρχεταί τινι.
ΤΕ. οὐ μᾶλλον, ὡς ἔοικεν, ἢ λυπήσομεν.
1140 ΜΕ. ἕν σοι φράσω· τόνδ' ἐστὶν οὐχὶ θαπτέον.
ΤΕ. ἀλλ' ἀντακούσηι τοὔπος, ὡς τεθάψεται.
ΜΕ. ἤδη ποτ' εἶδον ἄνδρ' ἐγὼ γλώσσηι θρασὺν

1124 *δεινὸν*] *μέγαν* **F** s. l. **T** ‖ **1127** *γ'*] *τ'* **LCHOV** om. **NGQR** | *εἰ*] *ἤ* **GQR** ‖ **1129** *ἀτίμου* Elmsley | *σεσωσμένος* codd.: corr. Wecklein ‖ **1130** sq. fort. *ἐγὼ ⟨οὐ⟩ γὰρ … νόμους. ΤΕ. εἰ τ. θ. ⟨δ'⟩* … sententia post *παρών* … interrupta ‖ **1130** *νόμους*] *γένος* **GRZc**$^{2\gamma\rho}$ et ut vid. **F**$^{s\gamma\rho}$ ‖ **1131** *θανόντας γ'* Lenting | *παρόν* s. l. in **XrZc** ‖ **1132** *αὐτοῦ* **LCHGQD** *αὐτῶ* **O** *αὑτοῦ* rell. ‖ **1134** *ἐμίσει*] *ἐμίσουν* **CVXr** | *ἐπίστασο* **PQDZc** *ἐπίστασαι* **Zc**$^{\gamma\rho}$ ‖ **1136** *οὐκ* **CVGQRDT** *κοὐκ* rell. | *τόδ'*] *τοῦτ'* **P** *τῶδ'* **H**^{ac} ‖ **1137** *καλῶς* **L** in lin. *κακῶς* **L** s. l., rell. | *κακά*] *καλά* **N**^{ac}**P** ‖ **1138** *ἀνίαν γε* **T** ‖ **1141** *ἀλλ'* **LFHNOVZr** *σὺ δ'* rell. *σὺ δ' ἂν* **L**$^{\gamma\rho}$**H**$^{\gamma\rho}$**N**$^{\gamma\rho}$ | *τοὔπος* Dawe *τοῦθ'* **P** *τούτων* **N**^{ac} *τοῦτον* rell. *τοῦθ' ἓν* Wecklein *τοῦτό γ'* Hartung. (*ἀντάκου' ἓν τοῦτό γ'* iam Valckenaer) possis etiam *τοῦθ' ὅπως*: cf. O. T. 548

ναύτας ἐφορμήσαντα χειμῶνος τὸ πλεῖν,
ὧι φθέγμ' ἂν οὐκ ἐνηῦρες ἡνίκ' ἐν κακῶι
1145 *χειμῶνος εἴχετ', ἀλλ' ὑφ' εἵματος κρυφεὶς*
πατεῖν παρεῖχε τῶι θέλοντι ναυτίλων.
οὕτω δὲ καὶ σὲ καὶ τὸ σὸν λάβρον στόμα
σμικροῦ νέφους τάχ' ἄν τις ἐκπνεύσας μέγας
χειμὼν κατασβέσειε τὴν πολλὴν βοήν.
1150 *ΤΕ.* *ἐγὼ δέ γ' ἄνδρ' ὄπωπα μωρίας πλέων,*
ὃς ἐν κακοῖς ὕβριζε τοῖσι τῶν πέλας.
κᾆιτ' αὐτὸν εἰσιδεῖν τις ἐμφερὴς ἐμοὶ
ὀργήν θ' ὅμοιος εἶπε τοιοῦτον λόγον·
ὤνθρωπε, μὴ δρᾶ τοὺς τεθνηκότας κακῶς.
1155 *εἰ γὰρ ποήσεις, ἴσθι πημανούμενος.*
τοιαῦτ' ἄνολβον ἄνδρ' ἐνουθέτει παρών.
ὁρῶ δέ τοί νιν, κἄστιν, ὡς ἐμοὶ δοκεῖ,
οὐδείς ποτ' ἄλλος ἢ σύ. μῶν ᾐνιξάμην;
ΜΕ. *ἄπειμι· καὶ γὰρ αἰσχρόν, εἰ πύθοιτό τις*
1160 *λόγοις κολάζειν ὧι βιάζεσθαι πάρα.*
ΤΕ. *ἄφερπέ νυν· κἀμοὶ γὰρ αἴσχιστον κλύειν*
ἀνδρὸς ματαίου φλαῦρ' ἔπη μυθουμένου.

ΧΟ. *ἔσται μεγάλης ἔριδός τις ἀγών.*
ἀλλ' ὡς δύνασαι, Τεῦκρε, ταχύνας

1143 *ναύταις* **CN^{ac}OGQRT**, et **F** s.l. ‖ **1144** *ἐνηῦρες* Hartung *ἂν ηὗρες* codd. ‖ **1145** *κρυφεὶς* **LADZr**, et **G** in lin. *κρυβεὶς* **XrZcT** *κρυφθεὶς* **G^{2}** s.l. et hoc fere rell. ‖ **1146** *ναυτίλω* **A^{ac}DXrXs** ‖ **1148** *μέγα* **PD^{ac}** om. **F** ‖ **1150** *δὲ κἄνδρ'* **C^{c}V** *δ' ἄνδρ'* **P** *γ' ἄνδρ'* **A** *δέ γ'* in ras. unius lit. scr. **T** ‖ **1152** *εἰσιδών* codd.: corr. Bergk ‖ **1154** *ἄνθρωπε* **FHVADXsZr** et Eustathius 681, 6 ‖ **1155** *ποιήσεις* codd. ‖ **1160** *πάρα* **N^{2pc}ADXrXsZrT** *παρῇ* **N^{ac}** rell.

1165 σπεῦσον κοίλην κάπετόν τιν' ἰδεῖν
τῶιδ', ἔνθα βροτοῖς τὸν ἀείμνηστον
τάφον εὐρώεντα καθέξει.

ΤΕ. καὶ μὴν ἐς αὐτὸν καιρὸν οἵδε πλησίοι
πάρεισιν ἀνδρὸς τοῦδε παῖς τε καὶ γυνή,
1170 τάφον περιστελοῦντε δυστήνου νεκροῦ.
ὦ παῖ, πρόσελθε δεῦρο, καὶ σταθεὶς πέλας
ἱκέτης ἔφαψαι πατρὸς ὅς σ' ἐγείνατο.
θάκει δὲ προστρόπαιος ἐν χεροῖν ἔχων
κόμας ἐμὰς καὶ τῆσδε καὶ σαυτοῦ τρίτου,
1175 ἱκτήριον θησαυρόν. εἰ δέ τις στρατοῦ
βίαι σ' ἀποσπάσειε τοῦδε τοῦ νεκροῦ,
κακὸς κακῶς ἄθαπτος ἐκπέσοι χθονός,
γένους ἅπαντος ῥίζαν ἐξημημένος,
αὔτως ὅπωσπερ τόνδ' ἐγὼ τέμνω πλόκον.
1180 ἔχ' αὐτόν, ὦ παῖ, καὶ φύλασσε, μηδέ σε
κινησάτω τις, ἀλλὰ προσπεσὼν ἔχου.
ὑμεῖς δὲ μὴ γυναῖκες ἀντ' ἀνδρῶν πέλας
παρέστατ', ἀλλ' ἀρήγετ' ἔστ' ἐγὼ μόλω
τάφου μεληθεὶς τῶιδε, κἂν μηδεὶς ἐᾶι.

1185 ΧΟ. τίς ἄρα νέατος, ἐς πότε λή- στρ. α
ξει πολυπλάγκτων ἐτέων ἀριθμός,

1165 *τιν' ἰδεῖν*] *ἰδεῖν* **GR** *εἰσιδεῖν τιν'* **P** *τιν' ἐδεῖν* **Q**[ac] *τιν' εἰδεῖν* **Q**[pc] || **1166** *βροτοῖσιν ἀείμνηστος* Tournier || **1168** *πλησίον* **CFN**[c]**OPZc**, et **V** in lin.: fort. etiam **H** || **1173** *ἄγων* **Zc**[2γρ] || **1175** *ἱκετήριον* **FH, ΣO** in lemmate || **1179** *αὔτως* **LCF**[ac] *αὕτως* **F**[pc] rell. | *ὅπωσπερ*] *ὅπως τε* **CV** || **1182** *δὲ* Blaydes *τε* codd. || **1183** *παρίστατ'* **T**, **Zc** s. l. | *μολὼν* **L**[ac]**O** et Et. Magn. 382, 5 || **1184** *μεληθῶ* Et. Magn. || **1186** *πολυπλάκτων* **OGQRD**

τὰν ἄπαυστον αἰὲν ἐμοὶ
δορυσσοή-
των μόχθων ἄταν ἐπάγων
1190 *ἀν' εὐρωδέα Τρωίαν*
δύστανον ὄνειδος Ἑλλάνων;

ἀντ. α

ὄφελε πρότερον αἰθέρα δῦ-
ναι μέγαν ἢ τὸν πολύκοινον Ἅιδαν
κεῖνος ἀνήρ, ὃς στυγερῶν
1195 *ἔδειξεν ὅ-*
πλων Ἕλλασιν κοινὸν Ἄρη.
ὦ πόνοι πρόγονοι πόνων·
κεῖνος γὰρ ἔπερσεν ἀνθρώπους.

στρ. β

ἐκεῖνος οὔτε στεφάνων
1200 *οὔτε βαθειᾶν κυλίκων*
νεῖμεν ἐμοὶ τέρψιν ὁμιλεῖν,
οὔτε γλυκὺν αὐλῶν ὄτοβον
δύσμορος, οὔτ' ἐννυχίαν τέρψιν ἰαύειν,

1187 *ἄπαυστόν γ'* **T**, silente **ΣT** ‖ **1188** *δορυσσοήτων* **L** *δορυσσόντων* fere rell. ‖ **1190** *ἀν'* Hermann om. **H** *ἀνὰ τὰν* rell. | *εὐρωδέα* Ahrens *εὐρώδη* **HODXs** *εὐρώδη* rell. *εὐρυεδῆ* Musgrave | *Τρωίαν* (cf. 424) Ahrens *Τροίαν* codd., post quod *ἠνεμόεσσαν* $\mathbf{H}^{ac}$ *εὐρώδη τρ. ἠν.* del. $\mathbf{H}^{pc}$ ‖ **1192** *ὄφελε* **PT** *ὤφειλε* $\mathbf{Q}^{ac}\mathbf{R}$ *ὤφηλε* ut vid. $\mathbf{Q}^{pc}$ *ὤφελε* rell. ‖ **1195** *ἔδειξ'* **T**, silente **ΣT** ‖ **1196** *Ἄρη* **LADXrXs** *Ἄρην* rell. ‖ **1197** *ὦ* **T**, silente **ΣT** *ἰὼ* rell. ‖ **1199** *κεῖνος* $\mathbf{FHXs}^{pc}\mathbf{T}$ | *οὐ στεφάνων* Hermann metri gr.: cf. 1211 ‖ **1200** *βαθειᾶν* **L**, **P** vel $\mathbf{P}^{pc}$, **ZrT**, **A** s. l.: *βαθειῶν* $\mathbf{C}^{ac}$ *βαθείαν* $\mathbf{C}^{pc}\mathbf{G}$ *βαθεῖαν* **A** in lin., rell. ‖ **1202** *ὄτοβον* $\mathbf{LC}^{ac}\mathbf{F}^{ac}\mathbf{N}^{ac}\mathbf{V}^{ac}\mathbf{GQRT}$ *ὄττοβον* $\mathbf{C}^{pc}\mathbf{F}^{pc}\mathbf{N}^{pc}\mathbf{V}^{pc}$ rell. ‖ **1203** *δυσμόρωι* Blaydes | *ἐννυχίως* **V**

1205 ἐρώτων δ' ἐρώτων ἀπέπαυσεν, ὤ-
μοι, κεῖμαι δ' ἀμέριμνος οὕ-
τως ἀεὶ πυκιναῖς δρόσοις
τεγγόμενος κόμας, λυγρᾶς
1210 μνήματα Τροίας.

καὶ πρὶν μὲν ⟨–⟩ ἐννυχίου *ἀντ. β*
δείματος ἦν μοι προβολὰ
καὶ βελέων θούριος Αἴας,
νῦν δ' οὗτος ἀνεῖται στυγερῶι
1215 δαίμονι· τίς μοι, τίς ἔτ' οὖν τέρψις ἔτ' ἔσται;
γενοίμαν ἵν' ὑλᾶεν ἔπεστι πόν-
τωι πρόβλημ' ἁλίκλυστον, ἄ-
1220 κραν ὑπὸ πλάκα Σουνίου,
τὰς ἱερὰς ὅπως προσεί-
ποιμεν Ἀθάνας.

⟨ΧΟ.⟩ καὶ μὴν ⟨......................
....
ΤΕ. .....⟩ ἰδὼν ἔσπευσα τὸν στρατηλάτην
Ἀγαμέμνον' ἡμῖν δεῦρο τόνδ' ὁρμώμενον·
1225 δῆλος δέ μοὐστὶ σκαιὸν ἐκλύσων στόμα.

1204–1205 *ἐρώτων δ' ἐρώτων* GQR *ἐρώτων ἐρώτων δ'* rell. || **1205** *ἀπέσπασέ μ'* N *ἀπέσπασεν* Zr *ἀπέπαυσέ μ'* S, coni. Blaydes || **1207** *πυκιναῖς* LCFVADXrZrZcT *πυκναῖς* rell. || **1210** *λυγρὰς* codd.: corr. Brunck || **1211** *καὶ πρὶν μὲν*] *πρὶν μὲν οὖν* coni. T *ἢ πρὶν μὲν* Dawe | *αἰὲν νυχίου* G. Wolff || **1214** *ἀνεῖται* ADXrXsZrZc^{2γρ}T *ἀ*κεῖται* L *ἐκκεῖται* C *ἐγκεῖται* V^{c} rell. (non leg. O) || **1215** *ἔτ' ἔσται* Blaydes *ἐπέσται* codd. || **1217** *ὑλᾶεν* LF^{ac}VADXrXsZrZc *ὑλάεν* C *ὑλῦεν* H *ὑλόεν* P *ὑλῶεν* F^{pc}NOGQ^{c}RT || **1218** *πόντωι* Morstadt *πόντου* codd. || **1223** sic disposuit Morstadt: *καὶ μὴν ἰδὼν κ. τ. ἑ.* Teucro trib. codd. || **1225** *μοὐστὶ* Hermann *μοί 'στι* fere codd. | *κλύσων* H *ἑλκύσων* G^{γρ} *ἑλκύσων* R *ἐκλύσσων* D | *διχῶς· καὶ δῆλός ἐστιν ὥς τι σημανῶν νέον* ΣL: cf. Ai. 326, Ant. 242

ΑΓΑΜΕΜΝΩΝ

σὲ δὴ τὰ δεινὰ ῥήματ' ἀγγέλουσί μοι
τλῆναι καθ' ἡμῶν ὧδ' ἀνοιμωκτεὶ χανεῖν;
σέ τοι, τὸν ἐκ τῆς αἰχμαλωτίδος λέγω.
ἦ που τραφεὶς ἂν μητρὸς εὐγενοῦς ἄπο
1230 *ὑψήλ' ἐφώνεις κἀπ' ἄκρων ὡδοιπόρεις,*
ὅτ' οὐδὲν ὢν τοῦ μηδὲν ἀντέστης ὕπερ,
κοὔτε στρατηγοὺς οὔτε ναυάρχους μολεῖν
ἡμᾶς Ἀχαιῶν οὔτε σοῦ διωμόσω,
ἀλλ' αὐτὸς ἄρχων, ὡς σὺ φῄς, Αἴας ἔπλει.
1235 *ταῦτ' οὐκ ἀκούειν μεγάλα πρὸς δούλων κακά;*
ποίου κέκραγας ἀνδρὸς ὧδ' ὑπέρφρονα,
ποῦ βάντος ἢ ποῦ στάντος οὗπερ οὐκ ἐγώ;
οὐκ ἆρ' Ἀχαιοῖς ἄνδρες εἰσὶ πλὴν ὅδε;
πικροὺς ἔοιγμεν τῶν Ἀχιλλείων ὅπλων
1240 *ἀγῶνας Ἀργείοισι κηρῦξαι τότε,*
εἰ πανταχοῦ φανούμεθ' ἐκ Τεύκρου κακοί,
κοὐκ ἀρκέσει ποθ' ὑμὶν οὐδ' ἡσσημένοις
εἴκειν ἃ τοῖς πολλοῖσιν ἤρεσκεν κριταῖς,
ἀλλ' αἰὲν ἡμᾶς ἢ κακοῖς βαλεῖτέ που
1245 *ἢ σὺν δόλωι κεντήσεθ' οἱ λελειμμένοι.*
ἐκ τῶνδε μέντοι τῶν τρόπων οὐκ ἄν ποτε

1227 *ἀνοιμωκτὶ* **FHP** et Eustathius 723, 28 *-κτῇ* **Q**^{c} ‖ **1228** *ἐκ τῆς*] *τῆς* **FHA** om. **Q** | *σέ τοι σὲ τὸν τῆς* rec. ‖ **1230** *ἐφώνεις* **L**^{pc}**A**^{ac}**DXrXsZr** *ἐκόμπεις* **T**, Σ Tricl. Ar. Ach. 638 *ἐφρόνης* **Q**^{ac} *ἐφρόνεις* **L**^{ac}**Q**^{pc}**A**^{2pc}**T**^{gl} rell. ‖ **1232** *ναυάρχας* **CVQXs** ‖ **1233** *διωρίσω* **L**$^{s\gamma\rho}$**F**^{gl}**O**^{gl} ‖ **1235** *κακά*] *καινά* **V** ‖ **1236** *κέκραγας* **QADXrXsZrZcT** et fort. **R**^{pc} *-ες* **R**^{ac} rell. ‖ **1237** *πῇ βάντος* **Zr** *ποῖ βάντος* rec. | *ἧπερ* **HP**, non leg. **F** ‖ **1240** *ποτε* **G** *ὅτε* **G**$^{\gamma\rho}$ ‖ **1241** *φανούμεθ'* **LH**^{pc}**NOAXrZc** *φανείμεθ'* **H**^{ac} *φανοίμεθ'* fere rell. | *ἐκ*] *ἐν* **L**^{ac} et fort. **V**^{ac} om. **Zr** ‖ **1242** *ἀρκέσοι* **PT** ‖ **1243** fort. *ἤρκεσεν* **L**^{ac} *ἤρκεσε* **H** et fort. **Xs**^{ac} ‖ **1245** *λελημμένοι* **H**, et coni. A. C. Pearson

κατάστασις γένοιτ' ἂν οὐδενὸς νόμου,
εἰ τοὺς δίκηι νικῶντας ἐξωθήσομεν
καὶ τοὺς ὄπισθεν εἰς τὸ πρόσθεν ἄξομεν.
1250 *ἀλλ' εἰρκτέον τάδ' ἐστίν· οὐ γὰρ οἱ πλατεῖς*
οὐδ' εὐρύνωτοι φῶτες ἀσφαλέστατοι,
ἀλλ' οἱ φρονοῦντες εὖ κρατοῦσι πανταχοῦ.
μέγας δὲ πλευρὰ βοῦς ὑπὸ σμικρᾶς ὅμως
μάστιγος ὀρθὸς εἰς ὁδὸν πορεύεται.
1255 *καὶ σοὶ προσέρπον τοῦτ' ἐγὼ τὸ φάρμακον*
ὁρῶ τάχ', εἰ μὴ νοῦν κατακτήσηι τινά·
ὃς ἀνδρὸς οὐκέτ' ὄντος, ἀλλ' ἤδη σκιᾶς,
θαρσῶν ὑβρίζεις κἀξελευθεροστομεῖς.
οὐ σωφρονήσεις; οὐ μαθὼν ὃς εἶ φύσιν
1260 *ἄλλον τιν' ἄξεις ἄνδρα δεῦρ' ἐλεύθερον,*
ὅστις πρὸς ἡμᾶς ἀντὶ σοῦ λέξει τὰ σά;
σοῦ γὰρ λέγοντος οὐκέτ' ἂν μάθοιμ' ἐγώ·
τὴν βάρβαρον γὰρ γλῶσσαν οὐκ ἐπαΐω.
ΧΟ. *εἴθ' ὑμὶν ἀμφοῖν νοῦς γένοιτο σωφρονεῖν·*
1265 *τούτου γὰρ οὐδὲν σφῶιν ἔχω λῶιον φράσαι.*
ΤΕ. *φεῦ· τοῦ θανόντος ὡς ταχεῖά τις βροτοῖς*
χάρις διαρρεῖ καὶ προδοῦσ' ἁλίσκεται,
εἰ σοῦ γ' ὅδ' ἀνὴρ οὐδ' ἐπὶ σμικρὸν χρόνον,

1248 *ἔξω θήσομεν* **LFHVXs** ‖ **1252** *ἀλλ' οἱ*] *οἱ γὰρ* Eustathius 880, 2 ‖ **1253** *πλευρὰ* **FHNPQRT** *-ᾶ* **L**[ac]**GO** *-ὰν* **L**[pc]**DXr XsZr** *-ὰς* **CVA** *-ᾶς* **Zc** | *σμικρᾶς δ' ὅμως* **GQR** ‖ **1254** *ὀρθῶς* **CV**[ac]**R**, **G** in lin. *ὀρθὸς δ'* **FH** | *πορεύσεται* **V**[ac] ‖ **1259** *οὐκ εὖ φρονήσεις* **HPC**[2γρ] ‖ **1265** *λῶιον φράσαι* insolitis modis scr. **L**: *λώϊον* post *σφῶϊν* collocat **N**, om. **G** (habet **G**[gl]) ‖ **1266** *τοῖς* **HQD**[ac] *τοι* Wright ‖ **1268** *σμικρὸν χρόνον* J. G. Jaeger *σμικρῶν πόνων* **T** *σμικρῶν λόγων* rell.: cf. codd. ad Ant. 1078, Oed. Col. 620 *σμικρὸν χρόνον* J. G. Jaeger: cf. codd. ad Ant. 1078, Oed. Col. 620

Αἴας, ἔτ' ἴσχει μνῆστιν, οὗ σὺ πολλάκις
1270 *τὴν σὴν προτείνων προὔκαμες ψυχὴν δορί,*
ἀλλ' οἴχεται δὴ πάντα ταῦτ' ἐρριμμένα.
ὦ πολλὰ λέξας ἄρτι κἀνόητ' ἔπη
οὐ μνημονεύεις οὐκέτ' οὐδέν, ἡνίκα
ἑρκέων ποθ' ὑμᾶς οὗτος ἐγκεκλῃμένους,
1275 *ἤδη τὸ μηδὲν ὄντας, ἐν τροπῆι δορὸς*
ἐρρύσατ' ἐλθὼν μοῦνος, ἀμφὶ μὲν νεῶν
ἄκροισιν ἤδη ναυτίλων θ' ἑδωλίοις
πυρὸς φλέγοντος, εἰς δὲ ναυτικὰ σκάφη
πηδῶντος ἄρδην Ἕκτορος τάφρων ὕπερ;
1280 *τίς ταῦτ' ἀπεῖρξεν; οὐχ ὅδ' ἦν ὁ δρῶν τάδε,*
ὃν οὐδαμοῦ φῄς, οὗ σὺ μή, βῆναι ποδί;
ἆμ' ὑμὶν οὗτος ταῦτ' ἔδρασεν ἢ δίχα;
χὤτ' αὖθις αὐτὸς Ἕκτορος μόνος μόνου
λαχών τε κἀκέλευστος ἦλθεν ἀντίος,
1285 *οὐ δραπέτην τὸν κλῆρον ἐς μέσον καθείς,*
ὑγρᾶς ἀρούρας βῶλον, ἀλλ' ὃς εὐλόφου
κυνῆς ἔμελλε πρῶτος ἅλμα κουφιεῖν;

1269 *Αἶαν* **O** ‖ **1271** *δὴ ταῦτα πάντ'* **ODZcT** *ταῦτα δὴ πάντ'* **CV** ‖ **1272** *κἀνόητ'* **LOAZrZcT**[ac], fort. **R**[ac] *κἀνόνητ'* **T**[pc] rell. ‖ **1274** *ἡμᾶς* **FH**[pc]**NGRZc** | *οὗτος* om. **FH** *ἐντὸς* **D**[2γρ]**Xr**, gl. in nonnullis | *ἐγκεκλειμένους* **LF**[ac]**O** *-εισμένους* **F**[pc] rell.: corr. Elmsley ‖ **1275** *ῥοπῆι* Walter ‖ **1276** *ἐρρύσατ' ἐχθρῶν* **Q**[ac] *ἐχθρῶν ἐρρύσατ' ἐλθὼν* **D** ‖ **1277** *ναυτίλων θ'* Dawe (*θ'* iam Bothe) *ναυτικοῖς* codd. *πευκινοῖς θ'* Bergk ‖ **1280** *ταῦτ'*] *τἄρ'* **F** ‖ **1281** *οὗ σὺ μή, βῆναι* Krauss *οὐδὲ συμβῆναι* codd. ‖ **1282** *ἆμ'* Musgrave: *ἆρ'* codd. | *ἔπραξεν* **C** | *ἢ δίχα* Musgrave: *ἔνδικα* codd., quod vix defendere possis vv. 1246 sqq. collatis ‖ **1283** *αὐτὸς* **Xs**, coni. Wolff ‖ **1284** *ἑκών* Reiske | *ἦλθεν ἀντίος* **C**[ac]**OADXrXsZrT** *ἦλθ' ἐναντίος* **C**[pc] rell. ‖ **1285** *εἰς μέσον* **NOQR** *ἐν μέσω* **F**

ὅδ' ἦν ὁ πράσσων ταῦτα, σὺν δ' ἐγὼ παρὼν
ὁ δοῦλος, οὐκ τῆς βαρβάρου μητρὸς γεγώς.
1290 *δύστηνε, ποῖ βλέπων ποτ' αὐτὰ καὶ θροεῖς;*
οὐκ οἶσθα σοῦ πατρὸς μὲν ὃς προὔφυ πατὴρ
ἀρχαῖον ὄντα Πέλοπα βάρβαρον Φρύγα;
Ἀτρέα δ', ὃς αὖ σ' ἔσπειρε, δυσσεβέστατον
προθέντ' ἀδελφῶι δεῖπνον οἰκείων τέκνων;
1295 *αὐτὸς δὲ μητρὸς ἐξέφυς Κρήσσης, ἐφ' ἧι*
λαβὼν ἐπακτὸν ἄνδρ' ὁ φιτύσας πατὴρ
ἐφῆκεν ἐλλοῖς ἰχθύσιν διαφθοράν.
τοιοῦτος ὢν τοιῶιδ' ὀνειδίζεις σποράν;
ὃς ἐκ πατρὸς μέν εἰμι Τελαμῶνος γεγώς,
1300 *ὅστις στρατοῦ τὰ πρῶτ' ἀριστεύσας ἐμὴν*
ἴσχει ξύνευνον μητέρ', ἣ φύσει μὲν ἦν
βασίλεια, Λαομέδοντος, ἔκκριτον δέ νιν
δώρημα κείνωι 'δῶκεν Ἀλκμήνης γόνος.
[ἆρ' ὧδ' ἄριστος ἐξ ἀριστέοιν δυοῖν
1305 *βλαστὼν ἂν αἰσχύνοιμι τοὺς πρὸς αἵματος,*
οὓς νῦν σὺ τοιοῖσδ' ἐν πόνοισι κειμένους
ὠθεῖς ἀθάπτους, οὐδ' ἐπαισχύνηι λέγων;
εὖ νυν τόδ' ἴσθι, τοῦτον εἰ βαλεῖτέ που,
βαλεῖτε χἠμᾶς τρεῖς ὁμοῦ συγκειμένους·
1310 *ἐπεὶ καλόν μοι τοῦδ' ὑπερπονουμένωι*

1288 *παρῆν* **Zc** vel **Zc**[c] ‖ **1289** *οὐκ*] *ἐκ* **OPQ** *ὁ ἐκ* **CFHNV** ‖ **1290** *ποῦ* **T**, et **Xr** s. l. | *αὐτῶ* fort. **L**[ac] *αὐτὸς* **L**[pc]**A**: de verbi *αὐτὰ* paene demonstrativo usu cf. Oed. Tyr. 132 ‖ **1295** *αὖθις* **L**[γρ]**H**[γρ] ‖ **1296** *φιτύσας* **ZrT** *φυτεύσας* rell. ‖ **1297** *ἀφῆκεν* **Q** | *ἐλλοῖς* **CF**[ac] vel **F**[pc]**HPVZr**, spir. in **O** non leg. ‖ **1303** *τόκος* **C**[ac]**VT** ‖ **1304–1312** eiecit Dawe ‖ **1304** *ἄριστος*] *ἄριστ'* **V** | *ἀριστέοιν*] *ἀριστέων* **L**[ac] et **C** s. l. ‖ **1307** *ψέγων* Erfurdt ‖ **1309** *συνεμπόρους* **L**[γρ] ‖ **1310** ⟨*ὑπερ*⟩*πονουμένους* **L**[γρ] *-μένου* **NOV** *-μένω̲* **A**[c]**Xs**[c]

θανεῖν προδήλως μᾶλλον ἢ τῆς σῆς ὑπὲρ
γυναικός, ἢ τοῦ σοῦ γ' ὁμαίμονος λέγω;]
πρὸς ταῦθ' ὅρα μὴ τοὐμόν, ἀλλὰ καὶ τὸ σόν·
ὡς εἴ με πημανεῖς τι, βουλήσηι ποτὲ
1315 *καὶ δειλὸς εἶναι μᾶλλον ἢ 'ν ἐμοὶ θρασύς.*

ΧΟ. *ἄναξ Ὀδυσσεῦ, καιρὸν ἴσθ' ἐληλυθώς,*
εἰ μὴ ξυνάψων, ἀλλὰ συλλύσων πάρει.

ΟΔΥΣΣΕΥΣ

τί δ' ἔστιν, ἄνδρες; τηλόθεν γὰρ ᾐσθόμην
βοὴν Ἀτρειδῶν τῶιδ' ἐπ' ἀλκίμωι νεκρῶι.
1320 *ΑΓ.* *οὐ γὰρ κλύοντές ἐσμεν αἰσχίστους λόγους,*
ἄναξ Ὀδυσσεῦ, τοῦδ' ὑπ' ἀνδρὸς ἀρτίως;
ΟΔ. *ποίους; ἐγὼ γὰρ ἀνδρὶ συγγνώμην ἔχω*
κλύοντι φλαῦρα συμβαλεῖν ἔπη κακά.
ΑΓ. *ἤκουσεν αἰσχρά, δρῶν γὰρ ἦν τοιαῦτά με.*
1325 *ΟΔ.* *τί γάρ σ' ἔδρασεν, ὥστε καὶ βλάβην ἔχειν;*
ΑΓ. *οὔ φησ' ἐάσειν τόνδε τὸν νεκρὸν ταφῆς*
ἄμοιρον, ἀλλὰ πρὸς βίαν θάψειν ἐμοῦ.
ΟΔ. *ἔξεστιν οὖν εἰπόντι τἀληθῆ φίλωι*
σοὶ μηδὲν ἧσσον ἢ πάρος ξυνηρετεῖν;

1311 *τῆς σῆς*] uix sanum: glossema ignorantis sapit || **1312** *γ'* Bothe et Seyffert *θ'* codd. | *σοῦ τοῦ θ'* Bergk | *λέγω*] *λέχους* Seyffert || **1315** *ἢ 'ν*] *ἢ* **CFHNG**$\mathbf{Q}^{pc}$**Zc** *ἢν* $\mathbf{Q}^{ac}$**R** *ἤ γ'* **PV** fort. *ἢ 'π'* **O**, quod coni. Blaydes || **1320–1321** Teucro trib. **L**, nuntio **CH** || **1321** Ulixi trib. $\mathbf{R}^{ac}$: ante 1321 rasura **A** || **1322** *ποίους; ἐγὼ γὰρ*] *ὄντως ἔγωγ' ἂν* Gnom. || **1323** *φ***αῦλα* $\mathbf{G}^{pc}$ || **1324** *μοι* $\mathbf{C}^{ac}$ $\mathbf{G}^{ac}$ | *τοιαῦτ' ἐμέ* Paley | versum Agamemnoni trib. **G**$\mathbf{Q}^{pc}$**RD ZrT**, Teucro $\mathbf{Q}^{ac}$ rell. || **1325** *λώβην* F. W. Schmidt (Hesych. *λώβη· βλάβη, ὄνειδος κ. τ. ἑ.*) || **1329** *ξυνηρετεῖν* Lobeck *ξυνηρεμεῖν* **GRZcT** *ξυνηρετμεῖν* $\mathbf{T}^{\gamma\rho}$ rell.

1330 *ΑΓ.* *εἴπ'· ἦ γὰρ εἴην οὐκ ἂν εὖ φρονῶν, ἐπεὶ*
φίλον σ' ἐγὼ μέγιστον Ἀργείων νέμω.
ΟΔ. *ἄκουέ νυν· τὸν ἄνδρα τόνδε πρὸς θεῶν*
μὴ τλῇς ἄθαπτον ὧδ' ἀναλγήτως βαλεῖν·
μηδ' ἡ βία σε μηδαμῶς νικησάτω
1335 *τοσόνδε μισεῖν ὥστε τὴν δίκην πατεῖν.*
κἀμοὶ γὰρ ἦν ποθ' οὗτος ἔχθιστος στρατοῦ,
ἐξ οὗ 'κράτησα τῶν Ἀχιλλείων ὅπλων·
ἀλλ' αὐτὸν ἔμπας ὄντ' ἐγὼ τοιόνδ' ἐμοὶ
οὔ τἂν ἀτιμάσαιμ' ἄν, ὥστε μὴ λέγειν
1340 *ἕν' ἄνδρ' ἰδεῖν ἄριστον Ἀργείων, ὅσοι*
Τροίαν ἀφικόμεσθα, πλὴν Ἀχιλλέως.
ὥστ' οὐκ ἂν ἐνδίκως γ' ἀτιμάζοιτό σοι.
οὐ γάρ τι τοῦτον, ἀλλὰ τοὺς θεῶν νόμους
φθείροις ἄν. ἄνδρα δ' οὐ δίκαιον, εἰ θάνοι,
1345 *βλάπτειν τὸν ἐσθλόν, οὐδ' ἐὰν μισῶν κυρῇς.*
ΑΓ. *σὺ ταῦτ', Ὀδυσσεῦ, τοῦδ' ὑπερμαχεῖς ἐμοί;*
ΟΔ. *ἔγωγ'· ἐμίσουν δ', ἡνίκ' ἦν μισεῖν καλόν.*
ΑΓ. *οὐ γὰρ θανόντι καὶ προσεμβῆναί σε χρή;*
ΟΔ. *μὴ χαῖρ', Ἀτρείδη, κέρδεσιν τοῖς μὴ καλοῖς.*
1350 *ΑΓ.* *τόν τοι τύραννον εὐσεβεῖν οὐ ῥᾴδιον.*
ΟΔ. *ἀλλ' εὖ λέγουσι τοῖς φίλοις τιμὰς νέμειν.*
ΑΓ. *κλύειν τὸν ἐσθλὸν ἄνδρα χρὴ τῶν ἐν τέλει.*

1330 *εἴπ'· ἦ γὰρ* **NOVAXrXsZrT** et fort. **F** idem sed *ἦ* ex corr. **CD** *εἶπ' ἦ γὰρ ἂν* **HZc** *εἶπ' ἦ γ' ἂν* **PG**^{γρ} *ἐπεί γ' ἂν* **L** *ἦ που γ' ἂν* **GQ**^{pc}**R** (*ἡ* **Q**^{ac}) | *οὐκ ἂν*] *οὐκ* **FH** ‖ **1331** *νέμω*] *ἔχω* **O**, gl. in nonnullis ‖ **1337** *'κράτησα* **Q**^{2pc}: elisionis nota carent rell. ‖ **1338** *ἔμπα* **L**^{ac} *ἔμπης* **FHPGQ** ‖ **1339** *οὔ τἂν* Elmsley *οὔκουν* **ADXrXsZr** *οὐκ ἄν γ'* **T** *οὐκ ἂν* rell. ‖ **1342** *γ'* om. **NQDT** ‖ **1345** *κυρῇ* **C** *κυρεῖς* **HQ** ‖ **1347** *δ'* om. **FH** ‖ **1348** *σε*] *με* van Leeuwen ‖ **1352** *τὸν ἐσθλὸν ἄνδρα χρὴ κλύειν* Eustathius 800, 9 et Cramer Anec. Par. III, 87, 5

ΟΔ. παῦσαι· κρατεῖς τοι τῶν φίλων νικώμενος.
ΑΓ. μέμνησ' ὁποίωι φωτὶ τὴν χάριν δίδως.
1355 ΟΔ. ὅδ' ἐχθρὸς ἀνήρ, ἀλλὰ γενναῖός ποτ' ἦν.
ΑΓ. τί ποτε ποήσεις; ἐχθρὸν ὧδ' αἰδῆι νέκυν;
ΟΔ. νικᾶι γὰρ ἀρετὴ τὸ τῆς ἔχθρας πολύ.
ΑΓ. τοιοίδε μέντοι φῶτες ἔμπληκτοι βροτῶν.
ΟΔ. ἦ κάρτα πολλοὶ νῦν φίλοι καὖθις πικροί.
1360 ΑΓ. τοιούσδ' ἐπαινεῖς δῆτα σὺ κτᾶσθαι φίλους;
ΟΔ. σκληρὰν ἐπαινεῖν οὐ φιλῶ ψυχὴν ἐγώ.
ΑΓ. ἡμᾶς σὺ δειλοὺς τῆιδε θἠμέραι φανεῖς.
ΟΔ. ἄνδρας μὲν οὖν Ἕλλησι πᾶσιν ἐνδίκους.
ΑΓ. ἄνωγας οὖν με τὸν νεκρὸν θάπτειν ἐᾶν;
1365 ΟΔ. ἔγωγε· καὶ γὰρ αὐτὸς ἐνθάδ' ἵξομαι.
ΑΓ. ἦ πάνθ' ὁμοῖα· πᾶς ἀνὴρ αὑτῶι πονεῖ.
ΟΔ. τῶι γάρ με μᾶλλον εἰκὸς ἢ 'μαυτῶι πονεῖν;
ΑΓ. σὸν ἆρα τοὔργον, οὐκ ἐμόν, κεκλήσεται.
ΟΔ. ὡς ἂν ποήσηις, πανταχῆι χρηστός γ' ἔσηι.
1370 ΑΓ. ἀλλ' εὖ γε μέντοι τοῦτ' ἐπίστασ', ὡς ἐγὼ
σοὶ μὲν νέμοιμ' ἂν τῆσδε καὶ μείζω χάριν·

1353 *παῦσαι*] *πάσαις* (sc. *ψήφοις*) Markland ‖ **1354** *δίδως*] *νέμεις* **Q** ‖ **1357** *τὸ* Dawe *με* codd. (om. N^{ac}) *τὰ* Wolff | *πολύ*] *πλέον* **C**, et gl. in nonnullis ‖ **1358** *ἔκπληκτοι* **Q** | *βροτοῖς* **GQA DXrXsZr** (-*ῶν* **Xr** s. l.): *ἄφρονες παρὰ τοῖς ἀνθρώποις* **Σ** ‖ **1360** *δὴ σὺ κτᾶσθαι* **LN** *σὺ δὴ κτᾶσθαι* **F** *σὺ δῆτα κτᾶσθαι* **H** *σὺ κτᾶσθαι* Zr^{ac} *δῆτα συγκτᾶσθαι* $QA^{ac}DXs$ ‖ **1366** *αὐτῶ* **LNO VGQD** | *φρονεῖ* **OGQR** *φιλεῖ* **P** fort. *ποιεῖ* C^{ac} | punctum post *ὁμοῖα* add. Dobree ‖ **1367** *φρονεῖν* **GQR** et L^{s} s. l. ‖ **1368** *σοῦ γ' ἄρα* **C** *σὸν γὰρ ἄρα* **NVZr** *σόν γ' ἆρα* Porson | *ἐμοῦ κληθήσεται* **C** ‖ **1369** *ποήσης* $L^{pc}Zc^{c}$ *ποιήσεις* $L^{ac}Q^{ac}$ *ποιήσης* Q^{2pc} rell. *ποηθῆι* Dawe | *πανταχοῦ* **CDXrT** et fort. Xs^{ac} | *γ'* habent **AD XrXs** (vel. Xs^{pc}) **ZrT** om. rell. ‖ **1371** *τήνδε* **C**, coni Bothe: sed cf. O.T. 764

οὗτος δὲ κἀκεῖ κἀνθάδ' ὢν ἔμοιγ' ὁμῶς
ἔχθιστος ἔσται. σοὶ δὲ δρᾶν ἔξεσθ' ἃ χρῇς.
ΧΟ. ὅστις σ', Ὀδυσσεῦ, μὴ λέγει γνώμηι σοφὸν
1375 φῦναι τοιοῦτον ὄντα, μῶρός ἐστ' ἀνήρ.
ΟΔ. καὶ νῦν γε Τεύκρωι τἀπὸ τοῦδ' ἀγγέλλομαι
ὅσον τότ' ἐχθρὸς ἦ τοσόνδ' εἶναι φίλος.
καὶ τὸν θανόντα τόνδε συνθάπτειν θέλω,
καὶ ξυμπονεῖν, καὶ μηδὲν ἐλλείπειν ὅσων
1380 χρὴ τοῖς ἀρίστοις ἀνδράσιν πορεῖν βροτούς.
ΤΕ. ἄριστ' Ὀδυσσεῦ, πάντ' ἔχω σ' ἐπαινέσαι
λόγοισι, καί μ' ἔψευσας ἐλπίδος πολύ.
τούτωι γὰρ ὢν ἔχθιστος Ἀργείων ἀνὴρ
μόνος παρέστης χερσίν, οὐδ' ἔτλης παρὼν
1385 θανόντι τῶιδε ζῶν ἐφυβρίσαι μέγα,
ὡς ὁ στρατηγὸς οὑπιβρόντητος μολὼν
αὐτός τε χὠ ξύναιμος ἠθελησάτην
[λωβητὸν αὐτὸν ἐκβαλεῖν ταφῆς ἄτερ.]
τοιγάρ σφ' Ὀλύμπου τοῦδ' ὁ πρεσβεύων πατὴρ
1390 μνήμων τ' Ἐρινὺς καὶ τελεσφόρος Δίκη
κακοὺς κακῶς φθείρειαν, ὥσπερ ἤθελον
τὸν ἄνδρα λώβαις ἐκβαλεῖν ἀναξίως.
σὲ δ', ὦ γεραιοῦ σπέρμα Λαέρτου πατρός,
τάφου μὲν ὀκνῶ τοῦδ' ἐπιψαύειν ἐᾶν
1395 μὴ τῶι θανόντι τοῦτο δυσχερὲς ποιῶ·

1372 *ὅμως* **LOXr**^{vρ}**T** || **1373** *χρή* codd.: corr. Dindorf || **1374** *λέγῃ* **NV** || **1376** *γε*] *δὲ* **D** || **1377** *ἦν* codd.: corr. Elmsley | *φίλον* **L**^{ac}**HPZc** || **1379** *ὅσων* **Zc** s. l., coni. Porson *ὅσσον* **N** non leg. **O** *ὅσον* **Zc** in lin. et rell. || **1380** *πονεῖν* codd.: corr. Housman (cf. 1398): *ξυμπορεῖν* in v. priori iam Campe | post hunc versum deficit **Xs** || **1388** eiecit Nauck || **1390** *Ἐρινὺς* **LFPVGQ** *Ἐριννὺς* rell. || **1392** *τόνδ'* Bentley || **1393** *Λαρτίου* **XrT** *Λαερτίου* **GQ** || **1395** *ποῶ* **L**^{pc}**CN**^{ac}**P**^{c}: sed vide Threatte 324–329

[τὰ δ' ἄλλα καὶ ξύμπραττε, κεἴ τινα στρατοῦ
θέλεις κομίζειν, οὐδὲν ἄλγος ἕξομεν.]
ἐγὼ δὲ τἄλλα πάντα πορσυνῶ· σὺ δὲ
ἀνὴρ καθ' ἡμᾶς ἐσθλὸς ὢν ἐπίστασο.

1400 *ΟΔ.* ἀλλ' ἤθελον μέν· εἰ δὲ μή 'στί σοι φίλον
πράσσειν τάδ' ἡμᾶς, εἶμ', ἐπαινέσας τὸ σόν.

ΤΕ. [ἅλις· ἤδη γὰρ πολὺς ἐκτέταται
χρόνος. ἀλλ' οἱ μὲν κοίλην κάπετον
χερσὶ ταχύνετε, τοὶ δ' ὑψίβατον
1405 τρίποδ' ἀμφίπυρον λουτρῶν ὁσίων
θέσθ' ἐπίκαιρον· μία δ' ἐκ κλισίας
ἀνδρῶν ἴλη τὸν ὑπασπίδιον
κόσμον φερέτω.
παῖ, σὺ δὲ πατρός γ', ὅσον ἰσχύεις,
1410 φιλότητι θιγὼν πλευρὰς σὺν ἐμοὶ
τάσδ' ἐπικούφιζ'· ἔτι γὰρ θερμαὶ
σύριγγες ἄνω φυσῶσι μέλαν

1396 sq. del. Schneidewin ‖ **1396** *ξύμπρασσε* Brunck ‖ **1397** *ἄξομεν* F ‖ **1398** *τἄλλα*] *τἀμὰ* Rauchenstein ‖ **1402–1420** delendi videntur: 1402–1413 (*ἤδη ... μένος*) eiecit Nauck, 1413–1417 Lazarewicz (1417 iam Dindorf), 1418–1420, Ritter. nescio an haec argumenta lectori persuadeant: *ταχύνετε κάπετον* (1404) ex 1165 inepte confectum: *τοὶ* (1404) interpolatorem convincens (cf. *τὼς* 841): *γ'* (1409) vix tolerabilis: *γὰρ* (1411) nec sententiae nec physiologiae congruens: *βάτω* (1414) post *σούσθω* languidum: paroemiacus paroemiacum insequens (1416–1417), quorum alter sensum perridiculum praebet ‖ **1404** *ταχύνατε* CF[c]PZrT *ταχύνατέ τε* Q | *τὸν δ'* Sudae GIT 1, 156, 31 *τὸ δ'* Sudae A ‖ **1409** *δὲ* om. Q | *γ'* om. CNOT | *σὺ δὲ παῖ τοῦ πατρὸς* T *ὦ παῖ, σὺ πατρὸς δ'* Hartung | *παῖ, σὺ δὲ πατρὸς – τόσον ἰσχύεις –* Wecklein ‖ **1411** *ἔτι τοι* Dawe

μένος. ἀλλ' ἄγε πᾶς φίλος ὅστις ἀνὴρ
φησὶ παρεῖναι, σούσθω, βάτω,
1415 *τῶιδ' ἀνδρὶ πονῶν τῶι πάντ' ἀγαθῶι*
κοὐδενί πω λώιονι θνητῶν
Αἴαντος ὅτ' ἦν τότε φωνῶ.

ΧΟ. *ἦ πολλὰ βροτοῖς ἔστιν ἰδοῦσιν*
γνῶναι· πρὶν ἰδεῖν δ' οὐδεὶς μάντις
1420 *τῶν μελλόντων ὅ τι πράξει.*]

1413 *ἀλλά γε* **CHO** || **1416** *πω* del. **V**[2] *τῶι πω* Schneider || **1417** *Αἴαντι* **GQR** | *ποτε* **CPV** et **N**[ac] vel **N**[pc] *τόδε* Blaydes | *φωνῶν* **NO**, et fort. **A** || **1418** *εἰσιδοῦσι* **HPD** || **1419** *πρὶν ἰδεῖν δ'* **LADXrZrT** *πρὶν δ' ἰδεῖν* **CHNOVGQRZc** *πρὶν ἰδεῖν γ'* **F** *πρὶν ἂν ἰδεῖν* **P**, post quod *δ'* add. **P**[2]

CONSPECTVS METRORVM

172–181 = 183–192

172/183	–⏑⏑ –⏑⏑ –⏑⏑ –⏑⏑	dactyl. tetram.
173/184	–⏑⏑–⏑⏑–	D
174/185	–⏑– – –⏑–	E
175/186	– –⏑– – –⏑⏑–⏑⏑– –	–e–D–
176/187	– –⏑– – –⏑– – –⏑⏑̇	–E–e
177/188	–⏑⏑–⏑⏑–	D
178/189	– –⏑– – –⏑⏑–⏑⏑–	–e–D
179/190	– –⏑– – –⏑⏑–⏑⏑–	–e–D
180/191	– –⏑– ⏓ –⏑⏑–⏑⏑–	–e⏓D
181/192	–⏑– ⏑ –⏑⏑– –	e⏑d^1–

193–200

193	–⏑⏑–⏑⏑–	D
194	⏑–⏑– ––	ia. + sp.
195	–––⏑⏑–⏑– ⏑–⏑–	glyc. + ia.
196	–––⏑⏑–⏑–	glyc.
197	––⏑⏑–⏑– –⏑̇	teles. + sp.
198	– –⏑⏑– –⏑– ––	anc. + chor. + cr. + sp.
199a	––⏑– ––	ia. + sp.
199b	– –⏑⏑– –⏑̇	anc. + chor. + sp.
200	⏑ –⏑⏑– –⏑̇	anc. + chor. + sp.

221–232 = 245–256

221/245	––⏑– –⏑̇	ia. + sp.
222/246	–⏑⏑ –⏑⏑ –⏑⏑ –	dactyl. tetram. cat.
224/247	⏑–⏑– ⏑––	ia. dim. cat.
225/248	–⏑⏑ –⏑⏑ –⏑⏑ –⏑⏑ –	dactyl. pentam. cat.

226/250	–⏑⏑– –⏑⏑– –	chor. dim. + anc.
227/251	––⏑– –⏑⏑– –⏑⏑–⏑––	ia. + chor. + aristoph.
230/253	⏑––⏑⏑– –⏑⏑–⏑––	dodr. B + aristoph.
231/254	⏑––⏑⏑–⏑⏑–	dodr. B longior
232/256	⏑–⏑– ⏑––	ia. dim. cat.

348–353 = 356–361

348/356	⏑–	
349/357	⏑––⏑– ⏑⏒⏒–⏑–	dochm. dim.
350/358	⏑⏑⏑⏓⏓⏑– ⏑––⏑–	dochm. dim.
351/359	⏑–⏑– ⏑–⏑–	ia. dim.
352/360	⏑–⏑– ⏑–⏑–	ia. dim.
353/361	–⏑⏑–⏑––	aristoph.

364–378 = 379–393

364/379	⏑––⏑– ⏑––⏑–	dochm. dim.
365/380	⏑––⏑– ⏑––⏑–	dochm. dim.
366/381	⏑⏑⏑–⏑– ⏑––⏑⏒	dochm. dim.
367/382 368/383 369/384		ia. trim.
370/385	–– ––	2 sp.
371/386		ia. trim.
372/387	––⏑⏑–⏑⏑–	enopl.
373/388	⏒–⏑– ⏑–⏑⏓	ia. dim.
374/389	–⏑⏑– ⏑–⏑–	chor. dim. A
375/390	⏒–⏑– –⏑⏑–	chor. dim. B
376/391	⏑–⏑– ⏑–⏑	ia. dim. cat.
377/392 378/393		ia. trim.

393b–411 = 412–429

393b/412	––	sp.
394/413	⏑⏑⏑–⏑⏒	dochm.
395/414a	⏑⏑⏑–⏑– ⏑⏑⏑–⏑–	dochm. dim.

396/414b	⏑–⏑– ⏑––⏑⏒	ia. + dochm.
397/415	⏑–⏑– ⏑––⏑⏑̇	ia. + dochm.
398/416	– –⏑⏑– ⏑–⏑–	anc. + chor. dim. A
400/417	⏑–⏑– ⏑–⏑– ––	2 ia. + sp.
401/418	–⏑–⏑–	hypodochm.
402/419	–⏑–⏑⏒	hypodochm.
403/420	⏑⏑⏑⏑– ––	ia. + sp.
404a/421	–⏑–⏑–	hypodochm.
404b/422	–⏑–⏑⏓	hypodochm.
405a/423a	–⏑–⏑–	hypodochm.
405b/423b	–⏑–⏑–	hypodochm.
406/424	–⏑–⏑–	hypodochm.
407/425	––⏑– ⏓–⏑⏑̇	ia. dim.
408/426	––⏑– ⏑–⏑– ⏑–⏑⏑––	ia. dim. + reiz.
410/428 } 411/429 }		ia. trim.

596–607 = 609–621

596/609	–––⏑⏑–⏑–	glyc.
597/610	–⏓–⏑⏑–⏑– ––	glyc. + sp.
598/611	––⏑⏑–⏑–⏓	chor. enopl. A
600/613	⏑–⏑– –⏒–⏑⏑–⏑–	ia. + glyc.
601/615	⏑–⏑– –––⏑⏑–⏑–	ia. + glyc.
602/617	–⏑–⏑⏑–⏑– ––	glyc. + sp.
605/618	⏑––⏑⏑–⏑– –⏑⏑–	glyc. + chor.
606/620 }	⏑⏑⏑⏑⏑⏑ –⏑⏑⏑⏑	troch. tetram. cat.
607/621 }	⏑⏑⏑–⏑ ––	

624–634 = 635–645

624/635	––⏑– –⏒–⏑⏑–⏑–	ia. + glyc.
625/636	⏓–⏑– –––⏑⏑–⏑–	ia. + glyc.
626/637	⏒⏑⏑⏑– ⏑––	ia. dim. cat.
627/638	–⏑⏑–⏑⏒	dodr. A
628/640	–––⏑⏑––⏑⏑––	asclep. cat.
629/641	–––⏑⏑–	dodr. B
630/642	–⏑⏑–⏑––	aristoph.
631/643	–––⏑⏑––	pher.

632/644	––––⏑⏑––	pher.
634/645	–––⏑⏑–⏑–⏑–⏓	phalaec.

693–705 = 706–718

693/706	⏑–⏑– ⏑⏑⏑⏑– ⏑–⏑	ia. trim.
694/707	⏑–⏑– ––	ia. + sp.
695/708	–––⏑⏑–⏑–	glyc.
696/709	–⏑–⏑⏑–⏑–	glyc.
697/710	⏑––⏑⏑–⏑–⏑––	phalaec.
698/711	–⏑⏑– ⏑–⏑–	chor. dim. A
699/712	––⏑⏑–⏑–	teles.
700/713	–⏑–⏑⏑–⏑–⏑––	phalaec.
701/714	–⏑⏑–⏑– ⏑––	dodr. A + ba.
702/715	–⏑⏑– ⏒ –⏑⏑–	chor. + anc. + chor.
703/716	⏑–⏑– ⏑––	ia. dim. cat.
704/717	⏒ –⏑⏑– –⏒̇	anc. + chor. + sp.
705/718	⏒–⏑– –⏑⏑– ⏑––	ia. + chor. + ba.

866–878

866	⏑–⏑– ⏑–⏑–	ia. dim.
867	––	sp.
868	–⏑–⏑–⏑–	lekyth.
869	––⏑– ⏑–⏑– ⏑–⏑–	ia. trim.
870	⏑–⏑–	ia.
871	–⏑–⏑–⏑⏑̇	lekyth.
872	––⏑– ––⏑– ⏑–⏑–	ia. trim.
873	⏑––	ba.
874	––⏑– ––⏑– ⏑–⏑–	ia. trim.
875	⏑––	ba.
876–8		ia. trim.

879–914 = 925–960

879/925	⏑––⏑– ⏑–⏒⏒⏑–	dochm. dim.
880/926	⏑⏑⏑–⏑– ⏑––⏑–	dochm. dim.
881/927	–⏑⏑–⏑⏑– ⏑––⏑–	D + dochm.
883/929	–⏑⏑–⏑⏑–	D

885/930	⏑–⏑– ⏑–⏑⏒	ia. dim.
886/931	–⏑⏑–––	dochm.
887/932	–⏑– ⏒⏒⏑⏒	cr. dim.
888/933	⏑⏑⏑–⏑– ⏑––⏑–	dochm. dim.
889/935	–⏑– –⏑⏑–⏑–	cr. + dochm.
890/936	–⏑⏑– ⏑–⏑– ⏓–⏑⏓	chor. + ia. dim.
891/937	–– ––	2 sp.
892/938	⏒–⏑– ⏑–⏑– ⏒–⏑–	ia. trim.
893/939	–– ––	2 sp.
894/940 895/941 896/942		ia. trim.
897/943	⏑––	ba.
898/944	––⏑– ⏓–⏑– ⏒–⏑⏓	ia. trim.
899/945	––⏑– ––⏑– ⏒–⏑–	ia. trim.
900/946	–⏑⏑–––	dochm.
901/947	––⏑⏑–⏑⏑–	enopl.
902/948	–⏑–– –⏑–	troch. dim. cat.
903/949	–⏑– –⏑⏓	cr. dim.
904–7/950–3		ia. trim.
908/955	–⏑⏑––– –⏑⏑–––	dochm. dim.
910/956	⏑––⏑–	dochm.
911/957	⏑ –⏑– ⏑ –⏑⏑–⏑⏑–	⏑e⏑D
912/958	⏑–⏑– ⏑––	ia. dim. cat.
913/959	–⏑⏑–⏑⏑–	D
914/960	⏑ –⏑⏑– –	⏑d^1–

1185–1191 = 1192–1198

1185/1192	⏑⏑⏑⏑⏑⏑ –⏑⏑–	chor. dim. B
1186/1193	–⏑⏑– –⏑⏑– ⏑––	chor. dim. + ba.
1187/1194	–⏑–⏒ –⏑⏑–	chor. dim. B
1188/1195	⏑–⏑–	ia.
1189/1196	–––– –⏑⏑–	chor. dim. B
1190/1197	⏒⏓ –⏑⏑–⏑–	glyc.
1191/1198	––⏑⏑–⏑– ––	teles. + sp.

1199–1210 = 1211–1222

1199/1211	⏑̄–⏑– –⏑⏑–	chor. dim. B
1200/1212	–⏑⏑– –⏑⏑–	chor. dim.
1201/1213	–⏑⏑– –⏑⏑– –	chor. dim. + anc.
1202/1214	– –⏑⏑– –⏑⏑–	anc. + chor. dim.
1203/1215	–⏑⏑– –⏑⏑– –⏑⏑– ⏓	chor. trim. + anc.
1205/1217	⏑–– ⏑––⏑⏑–⏑–	ba. + glyc.
1206/1218	–––⏑⏑–⏑–	glyc.
1207/1220	–⏑–⏑⏑–⏑–	glyc.
1208/1221	–⏑⏑– ⏑–⏑–	chor. dim. A
1210/1222	–⏑⏑––	adon.